οἱ μαθηταί· ἡγεῖτο δὲ αὐτῶν ὁ Σέργιος ὡς τεταγμένος
the disciples led and them — Sergius as appointed
τὴν ἡλικίαν καὶ ὡς τοῦ ἁγίου Συμεῶνος γεγονώς.
(in)-the age and as of-the holy Symeon having-been(-disciple)
Ἐν δὲ τῷ μεταξὺ ἀνέρχεται πρὸς τὸν μακάριον 31
in and the meantime goes-up to the blessed(-one)
Κῦρος ἀπὸ ὑπάτων καὶ ἀπὸ ὑπάρχων γεγονώς, ἀνὴρ
Cyrus former consul and former prefect having-been (a)-man
πιστότατος καὶ σοφός, ὅστις πάντων τῶν ἀξιωμάτων
most-faithful and wise who all the dignities
ἐντὸς γενόμενος διὰ τὴν ἄγαν ἀγχίνοιαν ὀψέ ποτε
within having-come because-of the excessive shrewdness late at-length
σκαιωρίαν ὑπὸ Χρυσαφίου τοῦ σπαθαρίου ὑπομείνας,
(a)-plot by Chrysaphius the spatharius having-suffered
εἰς πολίχνην ἐπίσκοπος κατηγγίσθη, λέγω δὴ ἐν τῷ
to (a)-small-town (as)-bishop was-appointed I-mean indeed in —
Κοτυαίῳ τῆς Φρυγίας· καὶ γνοὺς τὸν δόλον, εἶξεν,
Cotyaeum — of-Phrygia and having-recognized the trick he-yielded
ἵνα μὴ τὸ ζῆν κακῶς καταπαύσῃ. Οὗτος μετὰ τὴν
that not the to-live badly he-end this(-man) after the
τελευτὴν Θεοδοσίου τοῦ βασιλέως ἀπάρας ἑαυτὸν ἀπὸ
death of-Theodosius the emperor having-removed himself from
τῆς ἱερατικῆς ἀξίας καὶ τὴν λαϊκὴν τάξιν ἀσπασάμενος,
the priestly rank and the lay order having-embraced
οὕτω διετέλεσεν ἄχρι βίου ζωῆς, ἐπιβιώσας ἕως τῆς
so continued until (the)-course of-life having-lived-on until the
βασιλείας τοῦ εὐσεβεστάτου τὴν μνήμην Λέοντος· ὃς
reign of-the most-pious the memory Leo who
πάντα τὰ ὑπάρχοντα αὐτῷ πτωχοῖς ἐχορήγει. Οὗτος ὁ
all the possessions his to-(the)-poor supplied this the

προαγορευθεὶς ἀνὴρ ἔσχεν θυγατέρα ὀνόματι Ἀλεξάνδρειαν·
aforesaid man had (a)-daughter by-name Alexandria
ταύτην ὑπὸ πνεύματος πονηροῦ παιδευομένην ἤγαγεν πρὸς
her by (a)-spirit evil being-chastised he-brought to
τὸν ὅσιον ἄνδρα Δανιήλ, ἔτι ὄντος αὐτοῦ ἐν τῷ ναῷ
the holy man Daniel still being he in the temple
κάτω· ἣν ὁ Κύριος ταῖς τῶν ἀρχαγγέλων πρεσβείαις καὶ
below whom the Lord by-the of-the archangels intercessions and
ταῖς τοῦ ἁγίου ἀνδρὸς σὺν δάκρυσιν προσευχαῖς ἐν ὅλαις
by-the of-the holy man with tears prayers in whole
ἑπτὰ ἡμέραις τοῦ δαίμονος ἠλευθέρωσεν. Ἐξ ἐκείνου
seven days from-the demon freed from that(-time)
οὖν ἦν διάθεσις ἀγάπης διάπυρος ἀναμεταξὺ αὐτῶν.
then there-was (a)-disposition of-love ardent between them
32 Ἀνελθὼν οὖν τότε τοῦ κίονος ἱσταμένου, ἐπύθετο,
having-gone-up then at-that-time the column being-set-up he-inquired
τίς ὁ τοῦτον ἱστῶν, καὶ γνοὺς ὅτι Γελάνιος ὁ
who the(-one) this(-one) setting-up and having-learned that Gelanius the
καστρήσιος τοῦ βασιλέως, οὗτινος καὶ οἱ τόποι διαφέρουσιν,
castrensis of-the emperor to-whom also the places belong
πρῶτον μὲν ἐχαλέπαινεν ὅτι ὑπὸ τοῦ τοσαύτην ὕβριν
at-first indeed he-was-vexed that by the(-one) such insult
ἐνέγκαντος κατεδέξατο τοῦτο γενέσθαι· «Οὐ πολλῷ πλέον
having-borne he-had-consented this to-happen not much more
ἠδυνάμην, φησίν, ἐγὼ τοῦτο ποιῆσαι, εἴγε καὶ ἄλλο τι
could he-says I this to-do if-indeed also other something
ἐνεχώρει γενέσθαι;» Τότε ὁ ὅσιος ἀνὴρ ἤρξατο παρακαλεῖν
were-possible to-happen then the holy man began to-beseech
καὶ ἐπεύχεσθαι αὐτῷ λέγων· «Τὴν ἀγαθὴν πρόθεσίν σου
and to-pray-over him saying the good purpose your
τὴν περὶ ἐμὲ πάντες πανταχοῦ κηρύττουσιν· ἵνα μὴ οὖν
the(-purpose) toward me all everywhere proclaim that not then

αὐτὸν σκανδαλίσωμεν, τούτου χάριν κατεδεξάμην· ὁ δὲ
him we-may-scandalize for-this for-the-sake-of I-consented — and
Θεός, ᾧ λατρεύω, ἀνταμείψεταί σοι ἀγαθὰ κατὰ τὴν
God whom I-serve will-repay you good(-things) according-to the
πίστιν σου.» Δοὺς δὲ αὐτῷ εὐλογίας, ἀπέλυσεν αὐτόν.
faith your having-given and to-him blessings he-dismissed him
Καὶ ἐγένετο τῇ ἑξῆς ἡμέρᾳ σαββάτου, ἦλθεν καὶ ὁ 33
and it-happened on-the next day of-(the)-sabbath came also —
Γελάνιος μετὰ πολλῆς παρατάξεως ἐπὶ τὸ μεταστῆναι τὸν
Gelanius with great array for the to-move the
ὅσιον εἰς τὸν μείζονα κίονα· ἐν δὲ τῷ μέλλειν μεθίστασθαι
holy(-man) to the greater column in and the to-be-about to-be-moved
τὸν δοῦλον τοῦ Θεοῦ ἀπὸ κίονος εἰς κίονα ἐταράχθη ὁ
the servant — of-God from column to column was-troubled the
δαίμων ὁ ἐν τῷ παιδὶ τοῦ Σεργίου· ἠλαύνετο γὰρ τοῦ
demon the(-one) in the boy — of-Sergius he-was-driven for the
ἐξελθεῖν καὶ ἀνεβόησεν φωνῇ μεγάλῃ λέγων· «Ὦ βία
to-go-out and he-shouted with-(a)-voice loud saying oh violence
ἀπὸ τοῦ ἐπιθέτου τοῦ γόητος τούτου, ἐκ τῆς θυγατρὸς
from the impostor the sorcerer this from the daughter
Κύρου ἔτι ὢν ἐν τῷ ναῷ ἐξήλασέν με· καὶ ἀπελθὼν
of-Cyrus still being in the temple he-drove-out me and having-gone-away
ἐν τῇ Θράκῃ εὗρον κατοίκησιν ἐν τῷ νέῳ τούτῳ· καὶ
into — Thrace I-found (a)-dwelling in the young(-man) this and
ἰδοὺ ἐκ τῆς Θράκης παρέστησέν με ὧδε, καὶ νῦν διώκει
behold from — Thrace he-has-set me here and now he-pursues
με· τί ἐμοὶ καὶ σοί, Δανιήλ; ὦ βία, ἐξέρχομαι καὶ ἀπὸ
me what to-me and to-you Daniel oh violence I-go-out also from
τούτου.» Καὶ πολλὰ λοιδορήσας τὸν ὅσιον καὶ συντρίψας
this(-one) and much having-reviled the holy(-man) and having-crushed
τὸν νέον, τῇ τοῦ Κυρίου δυνάμει ἐξῆλθεν ἀπ᾽ αὐτοῦ.
the young(-man) by-the of-the Lord power he-went-out from him

Ἐξελθὼν δὲ ὁ δαίμων, ἐποίησε δυσωδίαν, ὥστε πάντας
having-gone-out and the demon made (a)-stench so-that all
τοὺς παρόντας ὄχλους μὴ φέροντας τὴν δυσωδίαν τὰς
the present crowds not bearing the stench the
ῥῖνας αὐτῶν σκέπειν· ἔκειτο δὲ ὁ νεανίσκος ἐπὶ τὴν
noses their to-cover lay and the youth on the
γῆν ἀνεῳγμένον ἔχων τὸ στόμα, ὥστε πάντας λέγειν ὅτι
ground opened having the mouth so-that all to-say that
ἀπέθανεν καὶ τὸν πατέρα αὐτοῦ κόπτεσθαι ὡς ἐπὶ νεκρῷ.
he-had-died and the father his to-beat-his-breast as over (a)-corpse
Τότε ὁ ὅσιος Δανιὴλ εἶπεν τῷ Σεργίῳ· «Ἀνακάθισον αὐτὸν
then the holy Daniel said — to-Sergius set-up him
καὶ πότισον ἔλαιον τῶν ἁγίων.» Καὶ ἐγένετο, ὡς ἐπότισεν
and give-to-drink oil of-the saints and it-happened when he-gave-to-drink
αὐτόν, ἦλθεν αὐτῷ ἔμετος καὶ ἀνήνεγκεν αἷμα πεπηγὸς
him came to-him vomiting and he-brought-up blood clotted
μέλαν. Ἐβόησεν δὲ ἄνωθεν ὁ δοῦλος τοῦ Θεοῦ φωνῇ
black shouted and from-above the servant — of-God with-(a)-voice
μεγάλῃ λέγων· «Ἰωάννη, τί σοί ἐστιν; ἀνάστηθι.» Καὶ
loud saying John what to-you is arise and
εὐθέως ὡς ἐξ ὕπνου διεγερθεὶς ὁ παῖς εἶπεν· «Τί
at-once as from sleep having-been-roused the boy said what
κελεύεις, κῦρι;» Καὶ προσδραμὼν περιεπλάκη τῷ κίονι,
do-you-bid lord and having-run-up he-embraced the column
εὐχαριστῶν τῷ Θεῷ καὶ τῷ ὁσίῳ. Ἔλαβεν δὲ φόβος
giving-thanks — to-God and to-the holy(-man) seized and fear
ἅπαντας καὶ ἐπὶ ὥραν πολλὴν ἐκτείναντες τὰς χεῖρας εἰς
all and for (an)-hour long having-stretched-out the hands to
τὸν οὐρανόν, μετὰ δακρύων ἔκραζον τό· Κύριε ἐλέησον.
the heaven with tears they-cried the(-cry) Lord have-mercy

The healed John took the habit and died three years later. The empress Eudoxia offered Daniel her estates, but he would not leave his place. Cyrus set an epigram on the column. A Pontian presbyter's dumb son was healed on the ladder, and Leo's wife Verina bore a son after Daniel's prayer. A courtesan bribed by heretics spread a slander, was possessed, confessed, and was healed at the column. Daniel warned of a wrath to come, and Leo sent the archbishop Gennadius to ordain him priest; Daniel would not answer his request for the ladder.

Μετὰ πολλῆς οὖν τῆς εὐταξίας καὶ δορυφορίας μετῆλθεν 34
with great then the good-order and escort moved-across
ὁ ὅσιος εἰς τὸν μείζω κίονα. Ἰδὼν δὲ ὁ Γελάνιος
the holy(-man) to the greater column having-seen and — Gelanius
τὰ μεγαλεῖα τοῦ Θεοῦ, κατελθὼν ἐκ τοῦ ὄρους πάντα
the mighty-works — of-God having-come-down from the hill all(-things)
διεσάφισεν τῷ τε βασιλεῖ καὶ πᾶσι τοῖς μεγιστᾶσιν αὐτοῦ.
he-made-clear to-the both emperor and all the grandees his
Ὁ δὲ ἰαθεὶς προσέπεσεν τῷ ἰδίῳ πατρὶ δυσωπῆσαι τὸν
the and healed(-one) fell-before the own father to-entreat the
δοῦλον τοῦ Θεοῦ ἐπὶ τὸ δέξασθαι αὐτὸν τὸ ἅγιον σχῆμα.
servant — of-God for the to-receive him the holy habit
Μὴ πειθομένου δὲ τοῦ γέροντος διὰ τὸ θέλειν αὐτὸν
not being-persuaded and the old(-man) because-of the to-wish him
ἔχειν ἔγγιστα αὐτοῦ, διώμνυτο ὁ παῖς, ὅτι· «Ἐὰν τοῦτο μὴ
to-have very-near him swore the boy that if this not
ποιήσῃς, κρυφαίως ἐν ἄλλοις τόποις ἀπέρχομαι, ὅπου οὐδὲ
you-do secretly to other places I-go-away where not-even
ὁρᾶν με δύνασαι.» Οὕτως οὖν πεισθεὶς ὁ πατὴρ
to-see me you-are-able so then having-been-persuaded the father
παρακαλεῖ τὸν ὅσιον ἄνδρα. Καὶ δεξάμενος ἐκέλευσεν
beseeches the holy man and having-received(-him) he-ordered

αὐτὸν σὺν τοῖς ἀδελφοῖς διάγειν. Ἐνιαυτοῦ δὲ πληρωθέντος
him with the brothers to-live (a)-year and having-been-completed
καὶ τοῦ νεανίσκου χάριτι Χριστοῦ εἰς ἀγαθὴν πολιτείαν
and the youth by-(the)-grace of-Christ in good conduct
προκόπτοντος, μεταστειλάμενος ὁ ὅσιος τὸν πατέρα
advancing having-summoned the holy(-man) the father
αὐτοῦ, δίδωσιν αὐτῷ τὸ ἅγιον σχῆμα. Τότε πληροφορηθεὶς
his gives him the holy habit then having-been-fully-assured
ὁ πατὴρ αὐτοῦ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ χαίρων καὶ
the father his went-away to the house his rejoicing and
δοξάζων τὸν Θεόν. Μετὰ δὲ τρία ἔτη, ἀνεπαύσατο ὁ
glorifying — God after and three years went-to-rest the
νεώτερος πορευθεὶς πρὸς Κύριον, καλῶς πολιτευσάμενος.
younger(-one) having-gone to (the)-Lord well having-lived
35 Τούτων οὕτως αἰσίως τελεσθέντων, ἡ τῆς εὐσεβοῦς
these-things so auspiciously having-been-accomplished — of-the pious
μνήμης Εὐδοξία ἐλθοῦσα ἀπὸ Ἀφρικῆς, ἀκούσασα ἀπὸ τοῦ
memory Eudoxia having-come from Africa having-heard from the
ἰδίου γαμβροῦ τοῦ τῆς ἐνδόξου μνήμης Ὀλυβρίου τὰ
own son-in-law — of-the glorious memory Olybrius the(-things)
κατὰ τὸν ἅγιον ἄνδρα τοῦτον καὶ χαροποιηθεῖσα σφόδρα,
concerning the holy man this and having-been-gladdened greatly
καταλαμβάνει τὴν μάνδραν τοῦ ὁσίου. Καὶ εὐχῆς
reaches the enclosure of-the holy(-man) and (a)-prayer
γενομένης καὶ εὐλογηθεῖσα ὑπ᾽ αὐτοῦ ἔφη· «Πάντα,
having-been-made and having-been-blessed by him she-said all(-things)
ὅσα ἠκούτισέν με τὸ τέκνον μου Ὀλύβριος εὗρον ἐκ
as-many-as informed me the child my Olybrius I-found in
περισσοῦ παρὰ τῷ σῷ ἀγγέλῳ· καὶ τὰς προφητείας δὲ
abundance with the your angel(-self) and the prophecies and
ἃς ἀπήγγειλας αὐτῷ περὶ τῆς ἐμῆς παρουσίας ἔτι ὢν
which you-announced to-him about the my coming still being

ἐν τῷ ναῷ, οὐκ ἔλαθέν με. Τούτου χάριν παραγέγονα
in the temple not escaped me for-this for-the-sake-of I-have-come
καὶ κατὰ πρόσωπον τῆς θέας ὑμῶν ἀπολαῦσαι καὶ τέλεον
also to face of-the sight your to-enjoy and fully
εὐλογηθῆναι. Νῦν οὖν, εἰ ἔστιν σοι καταθύμιον, ἔχω ὧδε
to-be-blessed now then if it-is to-you to-mind I-have here
τόπους πολλοὺς καὶ ἐπιτηδείους καὶ παρακαλῶ μεταστῆναί
places many and suitable and I-beseech to-move
σε ἐν τοῖς διαφέρουσίν μοι τόποις, ἐμοὶ πᾶσαν ἀρέσκειαν
you into the belonging to-me places me all pleasing
τῆς ψυχῆς σου ποιουμένης.» Ὁ δὲ ὅσιος ἀνὴρ ἔφη αὐτῇ·
of-the soul your making the and holy man said to-her
«Ὁ Θεός, ὁ δείξας ἡμῖν τὸ πρόσωπον τῆς σῆς
— God the(-one) having-shown us the face of-the your
εὐσεβείας τοῖς ἁμαρτωλοῖς ἐν σαρκί, σὺν τῇ ἐπιγείῳ καὶ
piety the sinners in flesh with the earthly also
τὴν ἐπουράνιον καὶ αἰώνιον βασιλείαν κατὰ τὴν πίστιν
the heavenly and eternal kingdom according-to the faith
ὑμῶν παράσχῃ ὑμῖν. Περὶ δὲ τῆς μεταστάσεως, καὶ ὑμᾶς
your may-he-grant to-you about and the moving also you
οὐ λέληθεν τοῦ Κυρίου λέγοντος μὴ μεταβαίνειν τόπον ἐκ
not has-escaped the Lord saying not to-move-over place from
τόπου, ἀλλ᾽ ὅπου ἐάν τις κληθῇ — μόνον εἰς τὸ ἀρέσκον
place but where ever one be-called only for the(-thing) pleasing
Θεῷ — ἵνα πολιτεύηται κἀκεῖ μένειν, ἕως οὗ ἐξέλθῃ
to-God that he-may-live also-there to-remain until — he-go-out-of
τοῦδε τοῦ σκηνώματος· ἅπαξ οὖν τοῦ Κυρίου ἑδράσαντός με
this the tent once then the Lord having-fixed me
ἐνταῦθα, οὐκ ἐνδέχεται μεταβῆναί με ἐντεῦθεν. Ὡς γὰρ ὁρᾷ
here not it-is-possible to-move me from-here as for sees
σου ἡ εὐσέβεια, ἔρημός ἐστιν ὁ τόπος καὶ οὐκ ὀφείλομεν
your the piety (a)-desert is the place and not we-ought

ζητεῖν τόπον ὅπου ἐστὶν ἀνάπαυσις.» Ταῦτα ἀκούσασα
to-seek (a)-place where is rest these-things having-heard
ἡ πιστοτάτη βασίλισσα Εὐδοξία, οἰκοδομηθεῖσα ἐν πᾶσιν,
the most-faithful empress Eudoxia having-been-edified in all(-things)
φιλοφρόνως φιλοτιμησαμένη κατῆλθεν ἐκ τοῦ ὄρους.
graciously having-been-generous came-down from the hill
36 Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ παραγίνεται τοῦ προρρηθέντος
it-happened and on-the next day arrives of-the aforesaid
ἐνδοξοτάτου ἀνδρὸς Κύρου ἡ μειζοτέρα, ἔχουσα πνεῦμα
most-glorious man Cyrus the elder(-daughter) having (a)-spirit
πονηρόν· χρόνον δέ τινα προσκαρτερήσασα τῇ μάνδρᾳ,
evil time and some having-persevered in-the enclosure
ἰάσεως ἔτυχεν διὰ τοῦ Θεοῦ. Καθαρισθείσης οὖν τῆς
healing obtained through — God having-been-cleansed then the
παιδὸς ἐκ τοῦ δαίμονος καὶ πορευθείσης εἰς τὸν οἶκον
girl from the demon and having-gone to the house
αὐτῆς, ἦλθεν ὁ πολλάκις μνημονευθεὶς μεγαλοπρεπέστατος
her came the often mentioned most-magnificent
Κῦρος εὐχαριστῶν τῷ Θεῷ καὶ τῷ ὁσίῳ ἀνδρί, καὶ
Cyrus giving-thanks — to-God and to-the holy man and
παρεκάλεσεν γράμμα ποιῆσαι ἐν τῷ κίονι. Μὴ βουλόμενος
he-besought (an)-inscription to-make on the column not wishing
δὲ ὁ δίκαιος ἀνὴρ τοῦτο γενέσθαι, πολλὰ βιασθεὶς
and the righteous man this to-happen much having-been-forced

παρ᾽ αὐτοῦ, <καὶ μὴ θέλων> λυπῆσαι αὐτόν, ἐπέτρεψεν
by him <and not wishing> to-grieve him he-permitted(-him)
ποιῆσαι· ἐλάξευσεν δὲ ἐν τῷ κίονι γράψας οὕτως·
to-make(-it) he-carved and on the column having-written thus

Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἵσταται ἀνήρ,
between earth both and heaven stands (a)-man
πάντοθεν ὀρνυμένους οὐ τρομέων ἀνέμους·
from-all-sides rising not fearing (the)-winds
τοὔνομα <μὲν> Δανιήλ, <μεγάλῳ> Συμεῶνι δ᾽ ἐρίζει,
the-name <indeed> Daniel <with-great> Symeon and he-vies
ἴχνια ῥιζώσας κίονι διχθαδίῳ·
(his)-footsteps having-rooted on-(a)-column double
λιμῷ δ᾽ ἀμβροσίᾳ τρέφεται καὶ ἀναίμονι δίψῃ,
by-hunger and ambrosial he-is-fed and by-bloodless thirst
υἱέα κηρύττων μητρὸς ἀπειρογάμου.
(the)-son proclaiming of-(a)-mother unwedded

Ταῦτα δὲ ἕως νῦν ἐγγέγραπται τῷ κίονι εἰς μνημόσυνον
these-things and until now are-inscribed on-the column for (a)-memorial
τοῦ μνημονευθέντος ἀνδρός.
of-the mentioned man
Τούτων δὲ οὕτως ἐχόντων, πρεσβύτερός τις Πόντιος 37
these-things and so being (a)-presbyter certain (a)-Pontian
τῷ γένει, κατέλαβεν τὴν μάνδραν τοῦ ὁσίου, ἔχων μεθ᾽
by-the race reached the enclosure of-the holy(-man) having with
ἑαυτοῦ υἱὸν νεανίαν ὡσεὶ ἐτῶν εἴκοσι ὑπὸ πνεύματος
himself (a)-son young-man about of-years twenty by (a)-spirit
πονηροῦ παιδευόμενον. Ἦν δὲ τὸ πονηρὸν πνεῦμα κωφὸν
evil being-chastised was and the evil spirit dumb
καὶ ἄλαλον. Προσπίπτει οὖν ὁ πατὴρ παρακαλῶν ἰαθῆναι
and speechless falls-down then the father beseeching to-be-healed

τὸν παῖδα. Ὁ δὲ ὅσιος ἀνὴρ ἔτι ἐρχομένων αὐτῶν,
the boy the and holy man still coming they
ἐθεώρει παρακρατούμενον τὸν παῖδα ὑπὸ τῶν ἰδίων
saw being-held-back the boy by the own
οἰκετῶν. Καὶ γνοὺς τῷ πνεύματι δι' ὃ ἔρχεται,
servants and having-known in-the spirit for what(-reason) he-comes
παρεκάλει τὸν Θεὸν περὶ αὐτοῦ ὅπως ταχεῖαν τὴν ἴασιν
he-besought — God about him that swift the healing
αὐτῷ παράσχῃ. Ταραχθεὶς οὖν ὁ δαίμων ἐκτινάξας
to-him he-might-provide having-been-troubled then the demon having-shaken-off
ἐκ τῶν κρατούντων τὸν νέον ἐξέφυγεν. Κατὰ δὲ
from those holding(-him) the young(-man) fled by and
πρόνοιαν Θεοῦ, κυριακῆς οὔσης, ἐδέησεν τὴν σκάλαν
(the)-providence of-God (the)-Lord's-day being it-was-needful the ladder
ἵστασθαι εἰς τὸν κίονα. Ὁρμήσας οὖν ὁ νεανίσκος,
to-stand against the column having-rushed then the youth
δρομαίως ἀνῆλθεν ἐπὶ τὴν κλίμακα· καὶ μήπω τὸ ἥμισυ
at-a-run went-up on the ladder and not-yet the half
ἀνελθὼν ἐκαθαρίσθη καὶ ὑπέστρεψεν ὑγιὴς καὶ ἵστατο
having-gone-up was-cleansed and returned healthy and stood
ἔμπροσθεν τοῦ κίονος σὺν τῷ πατρί, δοξάζων τὸν Θεόν·
before the column with the father glorifying — God
καὶ ἄλλα δὲ σημεῖα ἐποίησεν ὁ Θεὸς δι' αὐτοῦ.
and other too signs did — God through him

38 Ἀκούων δὲ ταῦτα παρὰ πολλῶν ὁ τῆς εὐσεβοῦς μνήμης
hearing and these-things from many — of-the pious memory
ὁ μακάριος Λέων ὁ βασιλεύς, ἐκ πολλοῦ ἐζήτει ἰδεῖν
the blessed Leo the emperor for long sought to-see
τὸν ἄνδρα. Μεταστέλλεται οὖν τὸν εὐλαβέστατον Σέργιον
the man summons then the most-reverent Sergius
τὸν ἀποκρισιάριον τοῦ ὁσίου τούτου καὶ δηλοῖ
the apocrisiarius of-the holy(-man) this and makes-known

αὐτῷ εὔξασθαι καὶ αἰτῆσαι τὸν Θεόν, ἵνα δοθῇ αὐτῷ
to-him to-pray and to-ask — God that be-given to-him
υἱός. Εὐξαμένου δὲ αὐτοῦ, τῇ τοῦ Θεοῦ εὐδοκίᾳ εἰς
(a)-son having-prayed and he by-the — of-God good-pleasure in
τὸ ἐπιὸν συλλαβοῦσα ἡ τοῦ βασιλέως γαμετὴ ἡ
the coming(-year) having-conceived the of-the emperor wife the
βασίλισσα Βερίνα ἔτεκεν υἱόν, παραχρῆμα δὲ ἀπέστειλεν
empress Verina bore (a)-son at-once and sent
ὁ βασιλεὺς καὶ ἔπηξε θεμέλια τοῦ τρίτου κίονος.
the emperor and fixed (the)-foundations of-the third column
Τοῦ δὲ φθονεροῦ δαίμονος μὴ φέροντος τὸν φθόνον, 39
the and envious demon not bearing the envy
εὑρίσκει σκεῦος ἄξιον τῆς αὐτοῦ κακοβουλίας. Βασιανὴ
finds (a)-vessel worthy of-the his ill-counsel Basiane
γάρ τις τυφάς, ἀπὸ τῆς ἀνατολῆς ἐπὶ τὸ Βυζάντιον
for (a)-certain (a)-courtesan from the east to — Byzantium
προσφάτως ἐλθοῦσα, ἠπάτα πολλοὺς τοὺς περὶ τὰ τοιαῦτα
recently having-come deceived many those about the such(-things)
γυναικοϊέρακας. Ταύτην εἰσκαλοῦνταί τινες αἱρετικῶν
woman-hawks her summon some of-heretics
παῖδες καὶ ὑπέθεντο αὐτῇ λέγοντες ὅτι· «Ἐὰν τὸν ἄνδρα
sons and suggested to-her saying that if the man
τὸν ἱστάμενον ἐν τῷ Ἀνάπλῳ ἐν τῷ στύλῳ δυνηθῇς
the(-one) standing at — Anaplous on the pillar you-are-able
ἔν τινι σκανδαλίσαι, ἤ τινα τῶν συνόντων αὐτῷ,
in any(-thing) to-scandalize or any of-those being-with him
ἕξεις παρ' ἡμῶν χρύσινα ἑκατόν.» Ἡ δὲ ἀναιδεστάτη
you-will-have from us gold-pieces (a)-hundred she and most-shameless
συνθεμένη αὐτοῖς, ἀνῆλθεν μετὰ πολλῆς φαντασίας πρὸς
having-agreed with-them went-up with great show to
τὸν ὅσιον παῖδων τε καὶ παιδισκῶν ἐπαγομένη πλῆθος
the holy(-man) boys both and girls bringing (a)-crowd

καὶ προσποιεῖται ἀρρωστίαν καὶ παραμένει ἐν προαστείῳ
and pretends illness and stays in (a)-suburban-estate
ἄντικρυς τῆς μάνδρας τοῦ ὁσίου. Χρόνον δὲ οὐκ ὀλίγον
opposite the enclosure of-the holy(-man) time and not little
προσκαρτερήσασα, τὸν χρόνον εἰς μάτην ἀνήλωσεν.
having-persevered the time in vain she-spent
Βουλομένη δὲ τῶν χρημάτων ἐντὸς γενέσθαι, κατελθοῦσά
wishing and the money within to-come having-come-down
τι τοιοῦτον σκευωρεῖται, καὶ φησιν τοῖς ἐρασταῖς αὐτῆς
something such she-contrives and says to-the lovers her
ὡς ὅτι· «Ἠδυνήθην δελεάσαι τὸν ἄνδρα· ἐρασθεὶς
as that I-was-able to-entice the man having-fallen-in-love
γὰρ τῆς μορφῆς μου ἐπέτρεψεν τοῖς ἑαυτοῦ μαθηταῖς
for with-the beauty my he-permitted to-the his-own disciples
ἀναγαγεῖν με διὰ τῆς κλίμακος πρὸς αὐτόν· ἐμοῦ δὲ μὴ
to-bring-up me by the ladder to him me but not
καταδεξαμένης, ἐβουλεύσαντο οἱ ἐκεῖσε προσεδρεύοντες
having-consented planned those there attending
ἀνελεῖν με· καὶ μόλις ἠδυνήθην ἐκφυγεῖν τὰς χεῖρας
to-kill me and scarcely I-was-able to-escape the hands
αὐτῶν.» Ἀκούσαντες δὲ ἐκεῖνοι καὶ δόξαντες τοῦ σκοποῦ
their having-heard and those and having-thought of-the aim
κεκρατηκέναι, πᾶσι τοῖς συγκακοσχόλοις διέδωκαν. Καὶ
to-have-prevailed to-all the fellow-mischief-makers they-passed(-it)-on and
λοιπόν, τῆς φήμης διαδραμούσης, ἦν ἰδεῖν πόλεμον
further the report having-run-through it-was(-possible) to-see (a)-war
πιστῶν καὶ ἀπίστων. Τούτων οὕτως γινομένων, ὁ τῇ
of-faithful and unfaithful these-things so happening the in-the
ἀληθείᾳ χαίρων Θεὸς συνήθως προϊστάμενος τῶν δούλων
truth rejoicing God as-usual protecting the servants
αὐτοῦ παρασκευάζει τὴν προλεχθεῖσαν ἀσελγεστάτην
his causes the aforesaid most-licentious

Βασιανὴν ὑπὸ δαίμονος χαλεποῦ ἐν μέσῃ τῇ πόλει
Basiane by demon grievous in (the)-middle-of the city
βασανιζομένην ἐξαγγέλλειν τὴν σκαιωρίαν καὶ τὴν
being-tormented to-proclaim the plot and the
τραγῳδίαν, ἣν οἱ κακόσχολοι ἄνδρες ὑπέθεντο αὐτῇ κατὰ
drama which the mischief-making men suggested to-her against
τοῦ δικαίου ἀνδρὸς ἐπὶ τῇ συντάξει τῶν χρημάτων. Καὶ
the righteous man for the arrangement of-the money and
οὐ μόνον τὰ ὀνόματα αὐτῶν βοῶσα ἐφανέρου, ἀλλὰ καὶ
not only the names their shouting she-revealed but also
τὰς ἀξίας αὐτῶν. Καὶ ἦν ἰδεῖν ἐναλλαγὴν τάξεως,
the ranks their and it-was(-possible) to-see (a)-reversal of-order
τῶν μὲν πιστῶν ἀγαλλιωμένων, τῶν δὲ ἀπίστων καὶ
of-the indeed faithful exulting of-the but unfaithful and
λιθοβολεῖν ἐπαγγελλομένων τὸν δίκαιον κατησχυμμένων.
to-stone promising the righteous(-man) put-to-shame
Ἐπὶ πολλαῖς οὖν ἡμέραις παιδευομένης αὐτῆς δεινῶς, λοιπὸν 40
for many then days being-chastised she terribly further
οἱ τῆς πόλεως φιλόχριστοι οἰκήτορες κατελεοῦντες αὐτὴν
the of-the city Christ-loving inhabitants pitying her
ἀπήγαγον πρὸς τὸν ὅσιον καὶ ἐδυσώπουν αὐτὸν πρὸς τὸ
brought(-her) to the holy(-man) and implored him for the
εὔξασθαι ὑπὲρ αὐτῆς πρὸς τὸν Θεὸν τοῦ ἰάσεως τυχεῖν
to-pray for her to — God for-the healing to-obtain
αὐτήν. Ὁ δὲ δοῦλος τοῦ Θεοῦ ἔφη αὐτοῖς· «Πιστεύσατέ μοι,
her the but servant — of-God said to-them believe me
ἀγαπητοί, οὕτως μοι ὑπῆρχον αἱ προλαβοῦσαι λοιδορίαι
beloved(-ones) so to-me were the previous revilings
ὥσπερ εὐφημίαι νῦν· οὐδὲ γάρ τις μάτην ἐγκωμιαζόμενος
as praises now not-even for anyone vainly praised
εὐεργετεῖται οὐδὲ ἀδίκως λοιδορούμενος βλάβην ὑπομένει.
is-benefited nor unjustly reviled harm suffers

Ὁ γὰρ τὴν ψυχὴν αὐτοῦ τῷ Θεῷ ἀνατεθεικὼς χαίρει
the(-one) for the soul his — to-God having-dedicated rejoices
μᾶλλον ψευδέσι λοιδορίαις — προξενοῦσι γὰρ αὐτῷ μισθόν,
rather in-false revilings they-procure for to-him (a)-reward
— ἢ ἀληθέσιν εὐφημίαις εἰς ἔπαρσιν ὀγκούσαις.» Μετὰ δὲ
than in-true praises to elation swelling after and
τοὺς λόγους τούτους πάντων ἀξιούντων ἀμνησικακῆσαι εἰς
the words these all asking(-him) to-bear-no-grudge toward
αὐτὴν διὰ τὸ ὁρᾶν αὐτοὺς τὴν ἀθλίαν ἔμπροσθεν
her because-of the to-see them the wretched(-woman) before
τοῦ κίονος οὕτως συντριβομένην, ἐκέλευσεν πάντας στῆναι
the column so being-crushed he-ordered all to-stand
εἰς εὐχήν. Καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανόν,
for prayer and having-stretched-out the hands to the heaven
ὁρώντων πάντων, παρεκάλει τὸν Θεὸν ἐπὶ πολλὰς τὰς
seeing all he-besought — God for many the
ὥρας μετὰ δακρύων ἰαθῆναι αὐτήν. Καὶ ἐγένετο, εὐχομένου
hours with tears to-be-healed her and it-happened praying
αὐτοῦ, ἔρρηξεν αὐτὴν ὁ δαίμων ἐπὶ τὴν γῆν καὶ ἐξῆλθεν
he threw her the demon to the ground and went-out
αὐτῇ τῇ ὥρᾳ· καὶ ἐκέλευσεν αὐτὴν ποτισθῆναι ἐκ
(in)-very the hour and he-ordered her to-be-given-to-drink from
τοῦ ἐλαίου τῶν ἁγίων. Καὶ οὕτως εἰς ἑαυτὴν ἐλθοῦσα,
the oil of-the saints and so to herself having-come
ἀναστᾶσα περιεπλάκη τῷ κίονι κλαίουσα καὶ εὐλογοῦσα
having-risen she-embraced the column weeping and blessing
τὸν Θεόν. Ἅπαντες δὲ οἱ συμπαρόντες ηὐχαρίστουν τῷ
— God all and those present-together gave-thanks —
Θεῷ, τῷ δεδωκότι χάριν τοιαύτην τῷ ὁσίῳ ἀνδρί. Οἳ
to-God the(-one) having-given grace such to-the holy man who
καὶ λαβόντες αὐτὴν μετ᾽ εὐφροσύνης ἀπῆλθον.
also having-taken her with gladness went-away

Ἐν ἐκείνῳ δὲ τῷ καιρῷ ἐκ θείας ἐνεργείας προεμηνύθη 41
at that and the time by divine working it-was-foretold
τῷ ὁσίῳ ἀνδρὶ ὡς ὀργῆς μεγάλης ἐξ οὐρανῶν τῇ
to-the holy man that (a)-wrath great from (the)-heavens on-the
πόλει μελλούσης κατέρχεσθαι, καὶ δῆλα ταῦτα καθιστᾷ
city being-about to-come-down and clear these-things he-makes
τῷ μακαρίῳ ἀρχιεπισκόπῳ Γενναδίῳ, ἅμα δὲ
to-the blessed archbishop Gennadius at-the-same-time and
καὶ τῷ βασιλεῖ, παρακαλῶν αὐτοὺς λιτὰς ἐκτελεῖν περὶ
also to-the emperor beseeching them litanies to-perform about
τούτου. Πλησίον δὲ οὔσης τῆς ἑορτῆς τοῦ σωτηρίου
this near and being the feast of-the saving
πάθους τοῦ Χριστοῦ, οὐκ ἠβουλήθησαν τὸν λαὸν ταράξαι,
passion — of-Christ not they-wished the people to-trouble
ἵνα μὴ πένθος ἐν τῇ ἑορτῇ συμβῇ πάσῃ τῇ πόλει. Καὶ
that not mourning at the feast happen (in)-all the city and
τῆς ἁγίας ἑορτῆς παρελθούσης, λήθη λοιπὸν παρεπέμφθη
the holy feast having-passed oblivion further was-sent-over
τὰ τοῦ πράγματος.
the(-things) of-the matter
Τούτων δὲ οὕτως γενομένων, ἐννοήσας ὁ τῆς εὐσεβοῦς 42
these-things and so having-happened having-considered — of-the pious
μνήμης μακάριος Λέων, ὅτι πολλὴν πεῖραν ἔσχεν τοῦ ἀνδρὸς
memory blessed Leo that much experience he-had of-the man
καὶ πολλῶν εὐεργεσιῶν ἔτυχεν διὰ τῶν ὁσίων αὐτοῦ
and many benefits had-obtained through the holy his
εὐχῶν, δηλοῖ διὰ σελεντιαρίου τῷ προμνημονευθέντι
prayers makes-known through (a)-silentiary to-the aforementioned
ἀρχιεπισκόπῳ λέγων· «Ἀνελθὼν πρὸς τὸν ὅσιον, τίμησον
archbishop saying having-gone-up to the holy(-man) honor
αὐτὸν τῇ τοῦ πρεσβυτέρου ἀξίᾳ.» Ὁ δὲ οὐκ ἠβούλετο
him with-the of-the presbyter rank he but not wished

προφάσεις τινὰς διὰ τοῦ παραγενομένου δηλώσας
excuses some through the(-one) having-come having-made-known
τῷ εὐσεβεστάτῳ βασιλεῖ. Ὁ δὲ βασιλεὺς ἀγανακτήσας
to-the most-pious emperor the but emperor having-been-vexed
ἐπὶ τῇ ὑπερθέσει, πάλιν ἀποστέλλει πρὸς τὸν μακάριον
at the delay again sends to the blessed
Γεννάδιον λέγων οὕτως· «Εἰ βούλει ἀνελθεῖν, ἄνελθε, ἐπεὶ
Gennadius saying thus if you-wish to-go-up go-up since
ἐγὼ ἀπέρχομαι καὶ τὸ θέλημα τοῦ Θεοῦ γίνεται.» Τότε
I go-away and the will — of-God is-done then
ἐκεῖνος δειλιάσας, παραλαμβάνει τινὰς τοῦ κλήρου τῆς
he having-been-afraid takes-along some of-the clergy of-the
ἐκκλησίας καὶ καταλαμβάνει τὴν μάνδραν τοῦ ὁσίου.
church and reaches the enclosure of-the holy(-man)
Προεγνώσθη δὲ τῷ ὁσίῳ, διὰ τί παραγίνεται.
it-was-foreknown and to-the holy(-man) for what(-reason) he-comes
Ἔφη δὲ ὁ ἀρχιεπίσκοπος· «Εὐλόγησον, πάτερ, τὰ τέκνα
said and the archbishop bless father the children
σου.» Ὁ δὲ ὅσιος εἶπεν· «Ἡ σὴ ὁσιότης καὶ ἡμᾶς καὶ
your the but holy(-man) said the your holiness both us and
αὐτοὺς εὐλογήσει.» Λέγει ὁ μακάριος Γεννάδιος· «Ἐκ
them will-bless says the blessed Gennadius for
πολλοῦ ἐβουλόμην ἐλθεῖν καὶ ἀπολαῦσαι τῶν ὑμετέρων
long I-wished to-come and to-enjoy the your
εὐχῶν· κέλευσον, παρακαλῶ, στῆναι τὴν κλίμακα, ἵνα
prayers order I-beseech to-stand the ladder that
ἀνελθὼν τελείως εὐλογηθῶ· πείσει γὰρ ὁ Θεὸς τὴν
having-gone-up perfectly I-may-be-blessed will-persuade for — God the
ὁσιότητά σου, διαφόρως ἀσχολούμενος εἰς ἐκκλησιαστικὰς
holiness your variously being-occupied in ecclesiastical
χρείας οὐκ ἠδυνήθην ἐκ πολλοῦ τοῦτο ποιῆσαι.» Ὁ δὲ
needs not I-was-able for long this to-do the but

δοῦλος τοῦ Θεοῦ τοῦτο ἀκούσας παρακαλοῦντος αὐτοῦ
servant — of-God this having-heard beseeching him
τεθῆναι τὴν σκάλαν οὐκέτι οὐδὲν ἀπεκρίνατο πρὸς αὐτόν.
to-be-set the ladder no-longer anything answered to him

ORDINATION, THE EMPEROR'S VISIT, AND THE STORM

When Daniel would not consent, Gennadius ordained him priest from below the column, then went up to give him communion. Leo climbed the ladder, saw Daniel's ulcerated feet, and built him a double column. A great fire followed, as Daniel had foretold. A storm nearly threw down the column; Leo pardoned the architect at Daniel's plea. Leo was thrown by his horse, Jordanes left the Arians, and Leo built a palace nearby. The Lazic king Gubazius marveled at the stylite, who mediated the kings' treaty, and in a winter storm Daniel was found nearly dead.

Πάντων δὲ τῶν συνόντων αὐτῷ παρακαλούντων περὶ 43
all and those being-with him beseeching about
τούτου καὶ μὴ ἐπιτρέποντος τοῦ δικαίου, λοιπὸν ἡ
this and not permitting the righteous(-one) further the
ἡμέρα παρήει· τοῦ δὲ πλήθους ὑπὸ τοῦ καύσωνος
day passed the and multitude by the heat
φλεγομένου τῇ δίψῃ, θεασάμενος ὁ ἐπίσκοπος ὅτι
being-burned with-the thirst having-seen the bishop that
οὐδὲν ἀνύει, ἐπέτρεψεν τὸν ἀρχιδιάκονον εὐχὴν
nothing he-accomplishes permitted the archdeacon (a)-prayer
ποιῆσαι· Αὐτὸς δὲ σταθεὶς καὶ ἐπευξάμενος χειροτονεῖ
to-make he-himself and having-stood and having-prayed-over ordains
διὰ τῆς προσευχῆς τὸν ὅσιον ἱερέα καὶ ἔλεγεν·
through the prayer the holy(-man) (as)-priest and said
«Εὐλόγησον ἡμᾶς, κῦρι ὁ πρεσβύτερος· ἐκ τῆς
bless us lord the presbyter from the

δεῦρο ἱερεὺς εἶ χάριτι Χριστοῦ· ἐμοῦ γὰρ εὐχὴν
here(-on) (a)-priest you-are by-(the)-grace of-Christ me for (a)-prayer
ποιήσαντος, ὁ Θεὸς ἄνωθεν τὴν χεῖρά σοι ἐπέθηκεν·»
having-made — God from-above the hand on-you laid
τοῦ ὄχλου ἐπὶ πολλὰς ὥρας τὸ ἄξιος κραζόντων.
the crowd for many hours the(-cry) worthy crying
Μετὰ ταῦτα ἔλεγον πάντες ἅμα τῷ ἀρχιεπισκόπῳ
after these-things said all together-with the archbishop
παρακαλοῦντες· «Κέλευσον τὴν κλίμακα τεθῆναι· λοιπὸν
beseeching order the ladder to-be-set further
γὰρ ὅπερ ἀπέφευγες ἐγένου.» Ἐπιτρέψαντος δὲ τοῦ
for what you-fled-from you-have-become having-permitted and the
δικαίου τοῦτο γενέσθαι, ἀνῆλθεν ὁ ἀρχιεπίσκοπος
righteous(-one) this to-happen went-up the archbishop
ἔχων ἐν χερσὶν τὸ ποτήριον τοῦ ἁγίου σώματος
having in hands the cup of-the holy body
καὶ τοῦ τιμίου αἵματος τοῦ ἀγαθοῦ μεσίτου Ἰησοῦ
and of-the precious blood of-the good mediator Jesus
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ἀσπασάμενοι ἀλλήλους
Christ — God our and having-greeted one-another
τῷ ἁγίῳ φιλήματι, ἐκοινώνησαν ἀμφότεροι ὑπὸ
with-the holy kiss they-communicated both from
ἀλλήλων. Καὶ κατελθὼν ὁ ἐπίσκοπος καὶ εἰσελθὼν
one-another and having-come-down the bishop and having-entered
ἐν τῷ παλατίῳ ἀνήγγειλεν τῷ βασιλεῖ ἅπαντα τὰ
into the palace reported to-the emperor all the(-things)
γενόμενα.
having-happened

44 Καὶ εὐφράνθη ἐπὶ τούτοις ὁ τῆς εὐσεβοῦς μνήμης ὁ
and rejoiced at these-things — of-the pious memory the
μακάριος Λέων· καὶ μετ᾽ οὐ πολὺ καταλαμβάνει τὸν
blessed Leo and after not long reaches the

προλεχθέντα τόπον, ἐν ᾧ ὑπῆρχεν ὁ ὅσιος, καὶ
aforesaid place in which was the holy(-man) and
παρακαλεῖ τεθῆναι τὴν κλίμακα, ἵνα ἀνελθὼν εὐλογηθῇ.
beseeches to-be-set the ladder that having-gone-up he-might-be-blessed
Τεθείσης δὲ τῆς κλίμακος, ἀνῆλθεν ὁ βασιλεὺς πρὸς
having-been-set and the ladder went-up the emperor to
τὸν δοῦλον τοῦ Θεοῦ καὶ παρεκάλει τῶν ποδῶν αὐτοῦ
the servant — of-God and besought the feet his
ἅπτεσθαι. Προσεγγίσας δὲ καὶ ἰδὼν τὴν σῆψιν
to-touch having-drawn-near and also having-seen the putrefaction
ἅμα δὲ καὶ τὴν ὄγκωσιν, ἐθαμβήθη θαυμάζων
at-the-same-time and also the swelling he-was-astounded marveling-at
τὴν ὑπομονὴν τοῦ δικαίου· καὶ δοξάζων τὸν Θεὸν
the endurance of-the righteous(-one) and glorifying — God
παρεκάλει τὸν ὅσιον ἐπὶ τὸ αὐτὸν ἱδρῦσαι διπλοῦν
he-besought the holy(-man) for the him to-set-up (a)-double
κίονα καὶ ἐπιβῆναι αὐτόν. Φθάνει δὲ καὶ ὁ ἐπίσκοπος
column and to-mount(-it) him arrives and also the bishop
καὶ πᾶσα ἡ πόλις σχεδὸν ἅμα δὲ καὶ ἀπὸ
and all the city almost at-the-same-time and also from
τῶν περαματίων. Πολλὰ δὲ τοῦ μακαρίου Λέοντος
the ferry-men much and the blessed Leo
δυσωπήσαντος ἐν αὐτῇ τῇ ἡμέρᾳ αὐτὸν μεταστῆναι,
having-implored on very the day him to-move-over
κελεύει ὁ δοῦλος τοῦ Θεοῦ ἀπὸ κλίμακος εἰς κλίμακα
orders the servant — of-God from ladder to ladder
τεθῆναι σανίδας ὥσπερ γέφυραν. Καὶ τούτου γεναμένου,
to-be-set planks like (a)-bridge and this having-been-done
μετέστη ὁ ὅσιος ἐπὶ τὸν διπλοῦν κίονα. Ἐν δὲ τῇ
moved-over the holy(-man) onto the double column on and the

ἡμέρᾳ ἐκείνῃ τοσαῦται ἰάσεις ἐγένοντο ὥστε πάντας
day that so-many healings happened so-that all
ἐκπλήττεσθαι.
to-be-amazed
Μετ᾽ οὐ πολὺ δὲ συνέβη τὴν πόλιν ἐμπρησθῆναι.
after not long and it-happened the city to-be-set-on-fire
Ἅπαντες οὖν ἐν πολλῇ θλίψει ὑπῆρχον καὶ τοῖς πλείοσιν
all then in great affliction were and for-the most
φευκτέα ἦν ἡ πόλις. Πρὸς δὲ τὸν ὅσιον ἀπήρχοντο
to-be-fled was the city to and the holy(-man) they-went
ἕκαστος δυσωπῶν ἵλεω ποιήσασθαι τὸν Θεὸν καὶ
each imploring gracious to-make — God and
παῦσιν τοῦ πυρὸς γενέσθαι· ἅμα δὲ καὶ ἃς
(an)-end of-the fire to-come-about at-the-same-time and also which
ὑπέμειναν συμφορὰς ἐξηγούμενοι, ὁ μὲν ἔλεγεν·
they-had-endured misfortunes relating the(-one) indeed said
«Ἐκ πολλῶν ὑπαρχόντων γυμνὸς κατελείφθην.» Ἄλλος
from many possessions naked I-was-left another
δέ· «Πόρρωθεν τοῦ ἐμπρησμοῦ ὑπάρχοντος ἀμεριμνίᾳ
and far-off the fire being by-carelessness
κρατούμενος ἐκάθευδον σὺν τῇ γαμετῇ καὶ τοῖς τέκνοις
held I-was-sleeping with the wife and the children
μου· ἀπροσδοκήτως δὲ τῆς συμφορᾶς καταλαβούσης
my unexpectedly and the misfortune having-overtaken
χήρος καὶ ἄτεκνος κατελείφθην, μόλις τὸν ἐκ τοῦ
widowed and childless I-was-left scarcely the by the
πυρὸς θάνατον ἐκφυγών.» Ἕτερος δέ· «Τὸν τοιοῦτον
fire death having-escaped another and the such
κίνδυνον ἀποδράσας καὶ τῶν πενιχρῶν μου ἐν χερσίν
danger having-run-from also the poor my in hands
μου ὑπαρχόντων ἐναυάγησα.» Ὁ δὲ ὅσιος δακρύων
my being I-was-shipwrecked the but holy(-man) weeping

ἐπὶ τούτοις ἔφη· «Ὁ φιλάνθρωπος Θεὸς φειδόμενος
at these-things said the loving-mankind God sparing
ὑμῶν διὰ τὴν αὐτοῦ ἀγαθότητα ταῦτα προεγνώρισεν
you through the his goodness these-things made-known-beforehand
καὶ οὐ παρεσιώπησεν· ἔδει τοίνυν ὑμᾶς τὸν Θεὸν
and not kept-silent it-was-needful therefore you — God
δυσωπήσαντας τὴν τοιαύτην ὀργὴν ἐκφυγεῖν. Καὶ γάρ
having-implored the such wrath to-escape and for
ποτε Νινευίταις ἀπειλὴ μηνυθεῖσα διὰ τοῦ προφήτου,
once to-the-Ninevites (a)-threat having-been-declared through the prophet
ταύτην διὰ μετανοίας ἐξέφυγαν. Οὐκ ἐλύπει με Θεοῦ
this through repentance they-escaped not grieved me of-God
φιλανθρωπία ψεύστην ἀποδεικνύουσα· εἶχον γὰρ ὑπόδειγμα
loving-kindness (a)-liar showing(-him) I-had for (an)-example
τὸν διὰ τὴν κολόκυνθα στυγνάσαντα· καὶ νῦν παρ᾽
the(-one) on-account-of the gourd having-been-gloomy and now from
οὗ συνέβη εὐχαρίστως φέρετε, παρακαλῶ· μεγάλης γὰρ
what happened thankfully bear(-it) I-beseech great for
θεραπείας τυγχάνει δεσπότης, ὅταν ἴδῃ παιδευόμενον
service obtains (a)-master whenever he-see being-chastised
οἰκέτην εὐχαρίστως φέροντα· οὐ μόνον γὰρ τῆς προτέρας
(a)-servant thankfully bearing(-it) not only for of-the former
αὐτὸν ἀξιοῖ τιμῆς, ἀλλὰ καὶ μείζονος διὰ
him he-deems-worthy honor but also of-greater because-of
τὴν εἰς αὐτὸν εὔνοιαν.» Καὶ ἄλλα δὲ πολλὰ
the toward him goodwill and other too many(-things)
παραινέσας, τὴν ἀθυμίαν εἰς παραμυθίαν μεταστρέψας
having-exhorted the despondency to consolation having-turned
ἀπέλυσεν εἰπών· «Ἕως ἑπτὰ ἡμερῶν ἡ πόλις
he-dismissed(-them) having-said until seven days the city
θλιβήσεται.»
will-be-afflicted

46 Παυσαμένου δὲ τοῦ ἐμπρησμοῦ, ἔλαβεν φόβος ἅπαντας.
having-ceased and the fire seized fear all
Καὶ λοιπὸν ὁ τῆς εὐσεβοῦς μνήμης μακαριώτατος
and further — of-the pious memory most-blessed
Λέων λαβὼν τὴν ἑαυτοῦ γαμετήν, ἀνελθὼν
Leo having-taken the his-own wife having-gone-up
προσεκύνει τὸν δοῦλον τοῦ Θεοῦ εἰπών· «Παρὰ
venerated the servant — of-God having-said because-of
τὴν ἡμετέραν ἀμέλειαν ἡ ὀργὴ αὐτὴ συνέβη· εὖξαι
the our negligence the wrath this happened pray
οὖν παρακαλῶ, ἵνα ὁ Θεὸς ἐκ τοῦ λοιποῦ ἵλεως
then I-beseech that — God from the rest(-of-time) gracious
ἡμῖν γένηται.» Σκόπησον, ἀγαπητέ, πῶς ἐπληροῦτο
to-us may-become consider beloved how was-fulfilled
τὸ ῥῆμα τῆς τοῦ ὁσίου μητρός. Ἐδέξατο γὰρ τὴν
the word of-the of-the holy(-man) mother he-received for the
προσκύνησιν τῶν δύο φωστήρων τῶν ἐπὶ τῆς κλίνης
veneration of-the two luminaries those on the bed
τῆς προμνημονευθείσης αὐτοῦ μητρὸς κατελθόντων
of-the aforementioned his mother having-come-down
ἐν ὁράματι τῆς νυκτός. Πάντων δὲ ὁμοθυμαδὸν
in (a)-vision of-the night all and with-one-accord
εὐλογηθέντων, κατεσκήνωσεν ὁ βασιλεὺς ἐν τῷ ἁγίῳ
having-been-blessed lodged the emperor at the holy
Μιχαήλ· ἔστιν δὲ ὡς ἀπὸ σημείου ἑνὸς παρὰ τὴν
Michael's it-is and about from mile one beside the
θάλασσαν.
sea

47 Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τοῦ κίονος οὐκ
(a)-storm and violent having-arisen and the column not
οἶδα πῶς κατὰ λόγον μὴ ἀσφαλισθέντος, ἐκ τῆς βίας
I-know how according-to reason not having-been-secured from the force

τῶν ἀνέμων ὑπὸ ἑκατέρων τῶν μερῶν ἀποσπασθείς, ἐκ
of-the winds from both the sides having-been-torn-away by
τοῦ εἰς μέσον βεβλημένου μοχλοῦ μόνον εἴχετο. Καὶ
the into (the)-middle thrown bar only it-was-held and
ἦν ἰδεῖν τὸν τοιοῦτον διπλοῦν κίονα ὧδε κἀκεῖσε
it-was(-possible) to-see the such double column here and-there
κινούμενον σὺν τῷ δικαίῳ· ὅτε μὲν γὰρ ἔπνει νότος,
moving with the righteous(-one) when indeed for blew (the)-south-wind
ἐν τοῖς ἀριστεροῖς μέρεσιν ἐκλίνετο, ὅτε δὲ βορρέας,
to the left parts it-leaned when and (the)-north-wind
ἐν τοῖς δεξιοῖς ὑπτιοῦτο, ποταμηδὸν δὲ ῥαντισμοὺς
to the right it-was-bent-back like-a-river and sprays
ὑδάτων ἀπέπεμπεν, τῆς βάσεως ἀποκρουομένης· ὄμβροι
of-waters it-sent-off the base beating-them-back rainstorms
γὰρ σὺν τοῖς βιαίοις πνεύμασιν ἐγίνοντο. Τῶν δὲ μαθητῶν
for with the violent winds came the and disciples
μοχλοὺς σιδηροῦς ὑποτιθέντων, μία ὁρμὴ τοῦ κίονος
bars iron putting-under one rush of-the column
κἀκεῖνα συνέτριβεν καὶ τοὺς ἀντιβαίνειν ἐπιχειροῦντας
those-too crushed and those to-resist attempting
μικροῦ δεῖν ἀπέκτεινεν· καὶ βοὰς λοιπὸν μετὰ δακρύων
(a)-little lacking it-killed and cries further with tears
ἀνέπεμπον, στέρησιν πατρὸς ὑπομεῖναι κινδυνεύοντες καὶ
they-sent-up bereavement of-(a)-father to-suffer being-in-danger and
ἄλλος ἄλλο τι διετάσσετο θορυβούμενος. Πάντων
one another something ordered being-confused all
δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀπελπισάντων, ἀχανεῖς
and as for the most(-part) having-despaired open-mouthed
τρομαῖοι καθίσταντο, σὺν τῷ κλονήματι τοῦ κίονος
trembling they-stood with the shaking of-the column
ὧδε κἀκεῖσε τὸ νεῦμα σὺν τῷ νεύματι περιφέροντες,
here and-there the nod with the nodding carrying-around

σκοποῦντες ποῦ τὸ λείψανον τοῦ δικαίου ἀκοντισθῇ
watching where the remains of-the righteous(-one) would-be-hurled
σὺν τῷ στύλῳ. Ὁ δὲ δοῦλος τοῦ Θεοῦ μηδενὶ μηδὲν
with the pillar the but servant — of-God to-no-one anything
ἀποκρινάμενος, τῇ δεήσει προσεκαρτέρει, τὸν Θεὸν
having-answered in-the supplication persevered — God
ἐπικαλούμενος εἰς βοήθειαν. Ὁ δὲ φιλάνθρωπος Θεὸς
calling-on for help the but loving-mankind God
διὰ τῆς αὐτοῦ εὐσπλαγχνίας γαλήνῃ τὸν κίνδυνον
through the his compassion with-calm the danger
κατέπαυσεν.
stopped

48 Τῇ δὲ ἑξῆς ἡμέρᾳ ἀποστέλλει ὁ βασιλεὺς κουβικουλάριον
on-the and next day sends the emperor (a)-chamberlain
Ἀνδρέαν ὀνόματι, ὥστε γνῶναι, μή τι κακὸν ὑπέμεινεν
Andrew by-name so-as to-know whether any evil suffered
ὁ ὅσιος ἐκ τῆς βίας τῶν ἀνέμων. Ἀνελθὼν
the holy(-man) from the force of-the winds having-gone-up
δὲ ὁ ἀποσταλεὶς καὶ ἰδὼν τὴν ὑπερβολὴν
and the(-one) sent and having-seen the excess
τοῦ κινδύνου οὗ ὑπέμεινεν ὁ δίκαιος, κατελθὼν
of-the danger which suffered the righteous(-one) having-come-down
ἀνήγγειλεν τῷ βασιλεῖ. Ἀκούσας δὲ ἠγανάκτησεν
reported to-the emperor having-heard and he-was-indignant
κατὰ τοῦ ἀρχιτέκτονος τοιοῦτον ἔδρασμα τοῦ κίονος
against the architect such (a)-foundation of-the column
πεποιηκότος, καὶ τοῦτον ἀνελεῖν ἠβούλετο. Παραχρῆμα
having-made and him to-kill wished at-once
δὲ δρομαίως ἀνελθὼν καὶ ἰδὼν αὐταῖς ὄψεσιν
and at-a-run having-gone-up and having-seen with-very eyes
τὸ γενόμενον δόνημα τοῦ στύλου καὶ τὴν τοῦ
the having-happened shaking of-the pillar and the of-the

ὁσίου ὑπομονήν, ἐξεπλάγη· ἅπαντες δὲ οἱ παρόντες
holy(-man) endurance he-was-amazed all and those present
ἐδόξαζον τὸν Θεόν. Ἔλεγεν δὲ ὁ βασιλεὺς τῷ ὁσίῳ·
glorified — God said and the emperor to-the holy(-man)
«Παρὰ ἀνθρώποις αὐτὸς ἐκινδύνευσας· Θεὸν δὲ τὸν
among men you-yourself were-in-danger God but the(-one)
ὑποστηρίζοντά σε ἔχων, τῆς τῶν κακοτέχνων γνώμης
supporting you having of-the of-the evil-craftsmen design
περιεγένου.» Μαθὼν δὲ ὁ δοῦλος τοῦ Θεοῦ τὴν κατὰ
you-prevailed-over having-learned and the servant — of-God the against
τοῦ ἀρχιτέκτονος ἀπειλήν, παρεκάλεσεν αὐτὸν μηδὲν
the architect threat he-besought him nothing
ὑπομεῖναι αὐτὸν κακόν. Καὶ παρέσχεν τὴν συγχώρησιν,
to-suffer him evil and he-granted the pardon
παραγγείλας ἀσφαλῶς τὸν κίονα ἑδρασθῆναι· ὃ δὴ
having-charged securely the column to-be-fixed which indeed
καὶ γέγονεν.
also happened
Τοῦ δὲ βασιλέως μέλλοντος κατιέναι, ὁ ἀεὶ φθονῶν 49
the and emperor being-about to-go-down the always envying
τοῖς καλοῖς διάβολος ἐπὶ τῇ τοιαύτῃ καὶ τοσαύτῃ
the good(-things) devil at the such and so-great
ἀγάπῃ τοῦ βασιλέως ἣν ἐκέκτητο πρὸς τὸν ὅσιον,
love of-the emperor which he-had-acquired toward the holy(-man)
παγίδα κλιμακτῆρος αὐτῷ ὑποβάλλει· ὁ γὰρ ἵππος,
(a)-snare of-(a)-crisis for-him lays-under the for horse
ἐφ' ὃν ἐκαθέζετο, σκιρτήσας ὠρθοβόλησεν· καὶ ὕπτιος
on which he-sat having-leaped reared and on-its-back
σὺν αὐτῷ ἐπὶ τοῦ ἐδάφους κατενεχθείς, ἡ κούρβα
with him onto the ground having-been-brought-down the pommel
τῆς σέλας ἐπὶ τοῦ μετώπου τοῦ βασιλέως ἐλθοῦσα
of-the saddle onto the forehead of-the emperor having-come

ὀλίγον ὑπέθλιψεν· τὸ δὲ στέμμα τὸ ἐπὶ τῆς κεφαλῆς
(a)-little pressed the and crown the(-one) on the head
ἀκοντισθέν, μέρος τῶν μαργαριτῶν ἐξέπτυσεν τῶν
having-been-hurled part of-the pearls spat-out of-the(-ones)
ὑπὸ τὰ ὀπίσθια τοῦ τραχήλου αὐτοῦ κεχαλασμένων.
under the back of-the neck his having-been-loosened
Αὐτὸς δὲ τῇ βουλήσει τοῦ Θεοῦ ἄπληγος διεσώθη· καὶ
he-himself and by-the will — of-God unstruck was-kept-safe and
κατελθὼν ἐν τῇ πόλει, οἰκονομία τις γίνεται παρὰ
having-come-down into the city (a)-dispensation certain comes-about from
τοῦ Θεοῦ. Ἀγανακτεῖ γὰρ ὁ βασιλεὺς κατὰ Ἰορδάνου
— God is-indignant for the emperor against Jordanes
στρατηλάτου, κόμητος σταύλων αὐτοῦ ὑπάρχοντος· ὁ δὲ
(the)-general count of-(the)-stables his being he and
ἀκούσας τὴν ἀπειλὴν φόβῳ συσχεθεὶς καταλαμβάνει τὴν
having-heard the threat by-fear having-been-seized reaches the
μάνδραν τοῦ ὁσίου καὶ προσεδρεύων τῇ παραινέσει
enclosure of-the holy(-man) and attending to-the exhortation
τοῦ δικαίου καταλιπὼν τὸ δόγμα τῶν Ἀρειανῶν,
of-the righteous(-one) having-left the dogma of-the Arians
τῇ ὀρθοδόξῳ πίστει ἐκοινώνησεν. Ἅμα δὲ καὶ
in-the orthodox faith communicated at-the-same-time and also
διηλλάγη αὐτῷ ὁ βασιλεύς· ἀκούσας δὲ ὁ τῆς
was-reconciled to-him the emperor having-heard and the(-one) of-the
εὐσεβοῦς μνήμης ἀδημονεῖν τὸν ὅσιον περὶ τῆς
pious memory to-be-distressed the holy(-man) about the
συμφορᾶς, ἧς ὑπέμεινεν κατερχόμενος, ἀπέστειλεν εὐθέως
misfortune which he-had-suffered coming-down he-sent at-once
Καλαπόδιον τὸν πριμικήριον τοῦ κουβουκλίου, παρακαλῶν
Calapodius the primicerius of-the bedchamber beseeching
τὸν δοῦλον τοῦ Θεοῦ καὶ λέγων· «Μηδεμίαν λύπην
the servant — of-God and saying no grief

δόξῃ ἔχειν ὁ ἄγγελός σου περὶ ἐμοῦ· διὰ γὰρ
let-him-seem to-have the angel your about me through for
τῶν ὁσίων ὑμῶν εὐχῶν ἄπληγος διεφυλάχθην· καὶ νῦν
the holy your prayers unstruck I-was-preserved and now
οἶδα, πόθεν ταῦτα ὑπέστην· οὐκ ἔδει γάρ με πρὸς
I-know whence these-things I-suffered not it-was-needful for me to
τὸν ὅσιόν σου ἄγγελον ἀνιόντα ἐνώπιόν σου ἵππῳ
the holy your angel going-up before you on-(a)-horse
ἐπιβαίνειν· ἀλλὰ δυσώπησον τὸν Θεὸν συγχωρῆσαί μου
to-mount but implore — God to-forgive my
τὴν ἀγνοίαν.»
the ignorance
Γνῶτε οὖν, ἀγαπητοί, τὴν αἰσχύνην τοῦ πονηροῦ· ὡς γὰρ 50
know then beloved(-ones) the shame of-the evil(-one) as for
ἐνόμισεν ἑαυτῷ τι κατορθοῦν, πλέον κατησχύνθη·
he-thought for-himself something to-accomplish more he-was-put-to-shame
ὁ γὰρ προρρηθεὶς εὐσεβέστατος βασιλεὺς παλάτιον
the for aforesaid most-pious emperor (a)-palace
οἰκοδομήσας ἐν τῷ ἁγίῳ Μιχαὴλ τὰς πλείους ἐκεῖ
having-built at the holy Michael's the most(-days) there
προσεκαρτέρει καὶ τοῦ ὁσίου ἀχώριστος ἐγίνετο·
persevered and from-the holy(-man) inseparable became
καὶ λοιποῦ, ἅμα ἐθεάσατο ἐκ διαστήματος τὸν
and henceforth as-soon-as he-saw from (a)-distance the
δίκαιον, κατήει ἐκ τοῦ ἵππου· ὁμοίως δὲ καὶ ἐν
righteous(-one) he-came-down from the horse likewise and also in
τῷ κατιέναι, ἕως οὗ ἀπεκρύβη, οὐκ ἐπέβαινεν ἐν τῷ
the to-go-down until — he-was-hidden not he-mounted on the
ἵππῳ.
horse

51 Συνέβη δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον Γουβάζιον τὸν
it-happened and at the time that Gubazius the
βασιλέα τῶν Λαζῶν παραγενέσθαι πρὸς τὸν βασιλέα
king of-the Lazi to-come to the emperor
Λέοντα. Παραλαβὼν οὖν αὐτὸν ἀναβαίνει πρὸς τὸν
Leo having-taken-along then him he-goes-up to the
ὅσιον· καὶ ἰδὼν τὸ ξένον θέαμα ὁ Γουβάζιος ῥίπτει
holy(-man) and having-seen the strange sight — Gubazius throws
ἑαυτὸν ἐπὶ πρόσωπον καὶ λέγει· «Εὐχαριστῶ σοι, βασιλεῦ
himself on (his)-face and says I-thank you king
ἐπουράνιε, ὅτι διὰ τοῦ ἐπιγείου βασιλέως μεγάλων με
heavenly that through the earthly king of-great me
μυστηρίων ἠξίωσας θεατὴν γενέσθαι· οὐδέποτε γὰρ
mysteries you-have-deemed-worthy (a)-spectator to-become never for
εἶδον ἐπὶ τῆς γῆς τί ποτε τοιοῦτον.» Εἶχον δὲ οἱ
I-saw on the earth anything ever such had and the
βασιλεῖς περὶ τῆς Ῥωμαϊκῆς καταστάσεώς τι πρὸς
kings about the Roman state something with
ἀλλήλους. Καὶ θαρροῦσιν τῷ δούλῳ τοῦ Θεοῦ τὰ
one-another and they-confide to-the servant — of-God the(-things)
τοῦ πράγματος καὶ γίνεται ὁ ὅσιος μεσίτης τῶν
of-the matter and becomes the holy(-man) (the)-mediator of-the
συνθηκῶν, περὶ ὧν ἀλλήλους ἐπληροφόρησαν. Κατελθὼν
treaties about which one-another they-assured having-come-down
οὖν ὁ βασιλεὺς ἀπέστειλεν τὸν Γουβάζιον ἐν τῇ πατρίδι
then the emperor sent — Gubazius to the homeland
αὐτοῦ. Καὶ ἀπελθὼν πᾶσιν ἐξηγεῖτο τὸ θέαμα· ἀφ' ὧν
his and having-gone-away to-all he-related the sight from which
οἱ μετὰ ταῦτα ἐρχόμενοι ἐκεῖθεν πάντως ἀνήρχοντο
those after these-things coming from-there by-all-means went-up
πρὸς αὐτόν· ἀλλὰ καὶ γράφων τῷ ὁσίῳ ἐζήτει τὰς
to him but also writing to-the holy(-man) he-sought the

εὐχὰς αὐτοῦ καὶ ἕως τελευτῆς αὐτοῦ οὐκ ἐπαύσατο
prayers his and until (the)-end his not he-ceased
ποιῶν.
doing(-so)
Τῷ δὲ ἐπελθόντι ἐνιαυτῷ συνέβη χειμῶνα γενέσθαι 52
in-the and following year it-happened (a)-storm to-come-about
ἀφόρητον, ὥστε τὸ δερμοκούκουλλον τοῦ ἁγίου ἀνδρὸς
unbearable so-that the leather-cowl of-the holy man
ὡς στίππυον ἀπὸ τῆς καύσεως τῶν ἀνέμων γενέσθαι·
like tow from the burning of-the winds to-become
καὶ αὐτὸ δὲ τὸ φθαρὲν ἐξέδυσεν ὁ ἄνεμος τὸν
and it too the destroyed(-thing) stripped-off the wind (from)-the
ὅσιον καὶ ἀκοντίζεται καὶ τὸ δέρμα ἀπὸ διαστήματος
holy(-man) and is-hurled also the skin from (a)-distance
εἰς φάραγγά τινα, τοῦ ὁσίου πᾶσαν τὴν νύκτα
into (a)-ravine some the holy(-man) all the night
χιονιζομένου. Καὶ τῶν πικροτάτων ἀνέμων κατὰ τῆς
being-snowed-on and the bitterest winds against the
ὄψεως ῥασσομένων, οὕτως αὐτὸν ἀνέδειξεν ὥσπερ στήλην
face beating so him showed-forth like (a)-pillar
ἁλός. Πρωίας δὲ γενομένης καὶ τῆς κλίμακος διὰ
of-salt morning and having-come and the ladder because-of
τὴν ὑπερβολὴν τοῦ χειμῶνος μὴ δυναμένης πρὸς αὐτὸν
the excess of-the storm not being-able to him
ἑλκυσθῆναι, ἔμεινεν οὕτως καὶ λοιπὸν ἄπνους νεκρὸς
to-be-drawn he-remained so and further breathless dead
σχεδὸν ἦν.
almost he-was

Revived with warm water, Daniel told of a vision of an old man and a hawk that became an eagle, which the disciples read as Symeon's relics coming to the city. Leo had an iron shelter made over him. Zeno the Isaurian brought Leo letters proving Ardaburius's treachery; Ardaburius was removed and Jordanes made general in his place, and Daniel exhorted Jordanes and prayed over them all. Daniel foretold that Gaiseric would never take Alexandria, Leo built a house for strangers and a shrine, and Symeon's relics were laid there with great ceremony while Daniel preached from his column.

53 Τῇ δὲ τοῦ Θεοῦ φιλανθρωπίᾳ γαλήνης γενομένης,
by-the and — of-God loving-kindness calm having-come
ἀνήγαγον τὴν σκάλαν· καὶ ὁρῶσι τὰς τρίχας τῆς κεφαλῆς
they-brought-up the ladder and see the hairs of-the head
καὶ τοῦ γενείου ἐν τῷ σώματι κατακεκολλημένας ἐκ τῶν
and of-the beard to the body glued-fast from the
κρυστάλλων, τὸ δὲ πρόσωπον αὐτοῦ κεκαλυμμένον σφέτλου
ice the and face his covered (a)-pane
δίκην ἐκ τοῦ κρυστάλλου καὶ μὴ φαινόμενον, φθέγγεσθαι
like by the ice and not appearing to-speak
δὲ ἢ κινεῖσθαι τὸ σύνολον μὴ δυναμένου. Τότε δρομαῖοι
and or to-move the whole not being-able then running
ἀνήγαγον σκεύη χλιαροῦ καὶ σπόγγους μεγάλους·
they-brought-up vessels of-warm(-water) and sponges great
κατὰ μέρος δὲ ὑποθερμάναντες μόλις φθέγξασθαι αὐτὸν
by part and having-warmed(-him) scarcely to-speak him
παρεσκεύασαν λέγοντες αὐτῷ· «Ἐκινδύνευσας, πάτερ.»
they-made saying to-him you-were-in-danger father
Ἀποκριθεὶς δὲ αὐτοῖς ὡς ἐξ ὕπνου, εὐθέως εἶπεν·
having-answered and to-them as from sleep at-once he-said
«Πιστεύσατέ μοι, τέκνα, ἕως οὗ διηγείρατέ με, ἐν πολλῇ
believe me children until — you-roused me in much

ἀναπαύσει ἥμην· τοῦ γὰρ ἀφορήτου χειμῶνος καταλαβόντος
rest I-was the for unbearable storm having-come-on
καὶ τοῦ ἐνδύματός μου ἀποσπασθέντος ἐκ τῆς τῶν ἀνέμων
and the garment my having-been-torn-away by the of-the winds
βίας, πρὸς μίαν ὥραν πάνυ ἐθλίβην· ὀλιγωρίας δὲ οὐκ
force for one hour greatly I-was-afflicted faintness and not
ὀλίγης μοι γενομένης, τὸν φιλάνθρωπον Θεὸν εἰς βοήθειαν
little to-me having-come the loving-mankind God for help
ἐπεκαλούμην καὶ ὡς εἰς ὕπνον κατηνέχθην καὶ ἐδόκουν ἐν
I-called-upon and as into sleep I-was-borne-down and I-seemed on
λαμπρᾷ στρωμνῇ ἀναπαύεσθαι καὶ πολυτελέσι περιβόλοις
(a)-splendid bed to-rest and with-costly coverings
my those afflicting me and the enemies my they grew-weak
καὶ ἔπεσον. Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ
and fell if encamp against me (an)-army not
φοβηθήσεται ἡ καρδία μου. Ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ
will-fear the heart my if rise-up against me
πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω». Καὶ καθεξῆς τοὺς λοιποὺς
war in this I hope and in-order the rest
στιχολογῶν συνήθως διετέλει ψαλμούς, δι᾽ ὅλης νυκτὸς
reciting as-usual he-continued psalms through whole night
καὶ πάσης ἡμέρας ἄπαυστον ὑμνολογίαν καὶ δοξολογίαν
and every day unceasing hymnody and doxology
προσφέρων Θεῷ, παρ᾽ οὗ ταχείας ὅτι μάλιστα τῆς
offering to-God from whom swift as much-as-possible the
ἀρωγῆς καὶ τῆς ἐπικουρίας ἐπέτυχεν. Νύχιον γὰρ αὐτῷ ποτε
aid and the help he-obtained by-night for to-him once

προσευχομένῳ συνήθως καὶ τοὺς δαυϊτικοὺς μελῳδοῦντι
praying as-usual and the Davidic singing
ψαλμοὺς ἐφίσταταί τις θεόθεν καταπεμφθεὶς ἐν
psalms stands-by (a)-certain(-one) from-God sent-down in
ὁμοιώματι τοῦ προρρηθέντος ἀνδρός, ἱερωτάτου Μιχαήλ
(the)-likeness of-the aforesaid man most-holy Michael
φημι, τοῦ τῶν Χαλκηδονίων ἱεράρχου ἀγγελωνύμου ἤτοι
I-say the of-the Chalcedonians hierarch angel-named or
ἀγγελομόρφου, ταὐτὸν δὲ φάναι, καὶ ἀγγελόφρονος.
angel-formed the-same and to-say also angel-minded
Πέπεισμαι δὲ τὸν μέγιστον τότε τῶν ἀγγελικῶν ταγμάτων
I-am-persuaded and the greatest then of-the angelic ranks
ἀρχηγέτην παρεῖναι Μιχαήλ, τὸν τῆς δυνάμεως Κυρίου
leader to-be-present Michael the of-the power of-(the)-Lord
ἀρχιστράτηγον· ὃς τὰ κατ᾽ αὐτὸν δῆθεν ἀνηρώτα,
commander-in-chief who the(-things) concerning him forsooth asked
πῶς ἔχοι, γνησίως καὶ προσφιλῶς διαπυνθανόμενος· τοῦ δὲ
how he-fared genuinely and kindly inquiring he and
πρὸς τὴν πεῦσιν σκυθρωπῶς ἀποκριναμένου καὶ τὸν ἐκ τῶν
to the question gloomily having-answered and the from the
πονηρῶν πνευμάτων πόλεμον προτεινομένου, ὡς ταραχὴν
evil spirits war putting-forward as confusion
αὐτῷ καὶ δέος ἐμποιοῦντα, τοῦ ἀγγελοφανοῦς ἀνδρὸς
for-him and fear producing the angel-appearing man
ἐκείνου πάλιν ἀκούειν ἐδόκει περιχαρῶς ἀντιφάσκοντος
that again to-hear he-seemed joyfully replying
ὡς· «Ἐγώ, φησί, διαπαντὸς μετὰ σοῦ εἰμί,» μηδαμῶς τε
that I he-says always with you am by-no-means and
δειλιᾶν ἢ φοβεῖσθαί τινα φόβον εὐθαρσῶς προτρεπομένου.
to-be-afraid or to-fear any fear courageously urging
Ταύτης τῆς θείας ἐμφανείας καὶ ἀγγελίας γεγενημένης
this the divine appearance and message having-happened

τε καὶ προδειχθείσης, παραυτίκα, ψαλμικῶς εἰπεῖν, ἐπ᾽
both and having-been-shown at-once psalmically to-say in
ἐλπίδι θειοτέρᾳ θάρσος προσείληφεν ἐβοηθήθη τε τῷ
hope more-divine courage he-took-on was-helped and in-the
πνεύματι καὶ ἡ σὰρξ αὐτοῦ ἀνέθαλεν, τῆς τυραννικῆς
spirit and the flesh his flourished-again from-the tyrannical
καὶ ληστρικῆς τῶν ἀνθρωποκτόνων ἐπηρείας ἀπαλλαγεῖσα
and robber-like of-the man-slaying abuse having-been-freed
πνευμάτων. Οὐκέτι γὰρ προσεγγίσαι τούτῳ ἢ παρενοχλῆσαι
spirits no-longer for to-approach him or to-trouble
τοῦ λοιποῦ τὸ παράπαν τετολμήκασι, τῆς πειραστικῆς
for-the rest at all they-have-dared the tempting
κακουργίας καὶ παροινίας αὐτῶν δυνάμει κρείττονι
evil-doing and drunken-violence their by-power stronger
ἐξοστρακισθείσης καὶ ἀποσκορακισθείσης μακρότατα.
having-been-ostracized and having-been-sent-to-the-crows farthest

THE PILLAR OF EUTROPIUS AND THE FISHERMEN

Bronze crosses on Luke's column burned like lamps through the storms for forty-two years, and the author, who knew him twenty-seven years, tells how he foresaw what would befall all who came. He gave fishermen blessed water and a rag for their nets: they caught three hundred and thirty fish and brought him thirty; sent back, they caught four hundred and fifty but brought only fifteen, and he told them they would catch nothing more that day.

Τεκμήριον δὲ σαφὲς τῆς τοιαύτης θεϊκῆς ἀντιλήψεως καὶ τὸ 13
(a)-proof and clear of-the such divine help (is)-also the
γεγενημένον περὶ αὐτὸν ξένον τεράστιον, ἐναργὲς σύμβολον
having-happened about him strange prodigy (a)-manifest symbol
τῆς ἄνωθεν ἐπισκιαζούσης αὐτῷ φωτοφόρου ἐλλάμψεως,
of-the from-above overshadowing him light-bearing illumination

τὸν τῆς σκληρᾶς ἀσκήσεως κόπον κομιδῇ διαναπαυούσης τὸ
the of-the hard asceticism toil wholly refreshing the
βάρος τε τῶν πόνων εὐμαρῶς ἐπικουφιζούσης καὶ τὸ τῆς
weight and of-the labors easily lightening and the of-the
ἀκηδίας δέος διασκεδαζούσης εἰς μεγίστης αὐτοῦ παρηγορίας
sloth fear dispersing for of-greatest his consolation
παραμύθιον. Ἡνίκα γάρ ποτε βρονταὶ καὶ ἀστραπαὶ τὸν ἀέρα
(a)-comfort when for once thunders and lightnings the air
σφοδρότερον συνήλαυνον γνόφος τε καὶ θύελλα συνδρομῆς
more-violently drove-together gloom both and storm by-concourse
ἐκ νεφῶν καὶ βαρυτάτου χειμῶνος αἰθέρα τε καὶ πόντον
from clouds and very-heavy winter ether both and sea
ἅπαντα συνεκάλυπτον, ῥαγδαίας βροχῆς καταφερομένης ἢ
all covered (a)-violent rain falling or
πάλιν χιόνος πολλῆς πολλάκις καταρρηγνυμένης, τότε δίκην
again snow much often breaking then like
ἀνθράκων ἀθρόως θεόθεν ὑπανήπτοντο οἱ τετραμερόθεν
coals all-at-once from-God were-kindled the on-four-sides
προσπεπηγότες τῇ κεφαλίδι τοῦ κίονος σταυροί, ἐξ ὕλης
fixed to-the capital of-the column crosses from material
κατεσκευασμένοι χαλκοῦ, ὡσαύτως καὶ ὁ κατὰ πρόσωπον
made of-bronze likewise also the toward (the)-face
αὐτοῦ καθιδρυμένος ἐξ ὁμοίας ὕλης πέμπτος σταυρός,
his set-up from similar material fifth cross
διὰ πάσης νυκτὸς δᾳδουχοῦντες καὶ καταυγάζοντες τὸ
through all (the)-night torch-bearing and illuminating the
τοῦ κίονος στενωπόχωρον δωμάτιον δίκην λαμπάδων
of-the column narrow-spaced little-room like torches
πενταρίθμων, στυλοειδῶς λαμπροφορούντων τάς τε τῆς
five-in-number pillar-like shining the both of-the
ψυχῆς καὶ τοῦ σώματος ἰσαρίθμους αἰσθήσεις αὐτοῦ
soul and of-the body equal-in-number senses his

διαθαλπόντων καὶ φωτοβολούντων, εἰς προοίμιον οἶμαι
warming and shedding-light for (a)-prelude I-think
τῆς ἐκεῖθεν μελλούσης αὐτὸν διαδέχεσθαι χαρᾶς καὶ
of-the from-there about-to him succeed joy and
λαμπρότητος. Ταῦτα τοῦ κατὰ τὸν νομοθέτην Μωσέα
brilliance these-things than-the according-to the lawgiver Moses
θαύματος περὶ τὴν πυρὶ σπαργανωθεῖσαν βάτον ποτὲ
wonder about the with-fire swaddled bush once
καὶ μηδαμῶς καταφλεχθεῖσαν παραδειχθέντος κατ' οὐδὲν
and in-no-way burnt-up shown in nothing
ἀτιμότερα, ἀλλ' οὐδὲ τῆς ἐνστύλου πυρὸς φωτοβολίας
less-honorable but nor than-the pillared of-fire light-shedding
εἰς δημαγωγίαν τοῦ πρὶν ἀλήτου λαοῦ Ἰσραὴλ κατὰ πολὺ
for (the)-leading of-the formerly wandering people Israel by much
ἀποδέοντα· τῆς ἐμπύρου τε τοῦ Θεσβίτου ξένης ἡνιοχείας
falling-short of-the fiery both of-the Tishbite strange charioteering
καὶ διφρείας παραπλήσιά τε καὶ κατάλληλα καὶ τῶν ἐν
and driving like both and corresponding and of-the in
πυρὸς φλογὶ περισωθέντων τρισαρίθμων νεανιῶν τὴν αὐτὴν
of-fire flame saved three-in-number youths the same
ἢ καὶ μείζονα παραδοξοποιΐαν διασῴζοντα. Καὶ ταῦτα
or also greater marvel-working preserving and these-things
οὐκ ἐφ' ἡμέραις τισὶν εὐαριθμήτοις ἢ καιροῖς ὀλιγοστοῖς
not for days some easily-counted or times very-few
τελεσθέντα τέλος ἐδέξατο, ἀλλ' ἐπὶ τεσσαράκοντα καὶ
accomplished (an)-end received but for forty and
δύο ἔτεσι καὶ μικρόν τι πρὸς ἐνηργεῖτο συνεχῶς
two years and (a)-little something over were-at-work continually
τερατουργούμενα. Καὶ τὰ πάλαι μὲν ἐκεῖνα τυπικῶς καὶ
worked-as-wonders and the of-old indeed those typically and
σκιωδῶς ἐτελεῖτο τεράστια, συμβολικῶς προδηλοῦντα
shadowily were-performed prodigies symbolically foreshowing

τὰ μέλλοντα τελεῖσθαι τῆς νέας χάριτος ξένα μυστήρια.
the about-to be-performed of-the new grace strange mysteries
Τὰ δὲ νῦν ὑπερφυῶς ἐνηργεῖτο παράδοξα, καθάπερ τοῖς
the but now extraordinarily were-at-work marvels as to-the
αὐτόπταις Χριστοῦ καὶ μύσταις πρότερον ἡ ἐν πυρίνοις
eyewitnesses of-Christ and initiates formerly the in fiery
γλώσσαις τοῦ παντουργοῦ πνεύματος ἐπιφοίτησις, τοῦ
tongues of-the all-working spirit descent —
Θεοῦ τιμῶντος κἀνταῦθα τὸν οἰκεῖον θεράποντα καὶ
God honoring here-too the own attendant and
συνεπαμύνοντος αὐτῷ τοῖς μεγίστοις ἀγῶσιν, ὡς δυνατὸν
helping him in-the greatest contests as possible
ἐξομοιοῦσθαι τούτῳ παντὶ τρόπῳ σπουδάζοντα.
to-be-made-like to-this(-one) in-every way being-eager

14 Ἅπερ μηδαμῶς μηδεὶς διαπιστείτω τῶν ἀκουόντων,
which in-no-way let-anyone disbelieve of-those hearing
ἀμφιβολίας λογισμοῖς βαλλόμενος ἢ δισταγμοῦ
of-doubt by-reasonings being-struck or of-hesitation
πλάνῃ περιπλανώμενος· οὐ γὰρ ἀβασανίστως ταῦτα
by-error wandering not for untested these-things
παραδεδεγμένοι τῷδε τῷ διηγήματι συνετάξαμεν, οὕτω
having-received in-this the narrative we-composed(-them) so
πως ὡς ἄν τις εἴποι ἁπλῶς καὶ ὡς ἔτυχεν ἀβεβαίοις
somehow as — anyone might-say simply and as it-happened on-unsure
στοιχήσαντες πράγμασιν, εὐκολίᾳ νοὸς ἢ φρενῶν κουφότητι
having-relied matters by-facility of-mind or of-wits by-lightness
παρορμηθέντες· οὐδ' ἐξ ἑτέρων τινῶν μόνον τῶν ἀκοῇ
having-been-impelled nor from others some only of-those by-hearing
ἢ θέᾳ παρειληφότων τὰ τοιάδε μεμαθηκότες τὸ πιστὸν
or sight having-received the such(-things) having-learned the trustworthiness
ἔχειν ἐδόξαμεν, ἀλλ' ἐξ ἐκείνου αὐτοῦ τοῦ ἀψευδοῦς
to-have we-thought but from that very the unlying

στόματος διηγουμένου περὶ τούτων πολλάκις γεγονότες
mouth relating about these often having-been
αὐτήκοοι τὴν πληροφορίαν ἀναμφισβήτητον ἐδεξάμεθα· καὶ
ear-witnesses the assurance indisputable we-received and
γὰρ ἐπὶ χρόνοις σχεδὸν τριάκοντα, τριῶν τούτοις ἐνδεόντων,
for for years almost thirty three of-these lacking
δι' ἔλεον Θεοῦ κατ' εὐδοκίαν κρείττονα τῆς περὶ
through (the)-mercy of-God according-to good-pleasure better of-the toward
ἡμᾶς προνοίας, ἐπιγνῶναι τὸν ἐπίγειον ὄντως ἄγγελον
us providence to-know the earthly truly angel
καὶ οὐράνιον ἄνδρα τουτονὶ κατηξιώθημεν, πυκνότερον
and heavenly man this we-were-deemed-worthy rather-often
ὡς εἰκὸς παραβάλλοντες αὐτῷ καὶ τὰ καθ' ἡμᾶς
as (is)-likely visiting him and the(-things) concerning us
ἀνατιθέναι εἰωθότες ἅπαντα ὡς πατρὶ καὶ φροντιστῇ καὶ
to-refer accustomed all as to-(a)-father and (a)-guardian and
κηδεμόνι τῆς ἡμετέρας ταλαιπώρου ζωῆς καὶ πολιτείας,
(a)-protector of-the our wretched life and conduct
ναὶ δὴ προνοητῇ θερμῷ τῶν ἐμοὶ συμφερόντων
yes indeed (a)-provider warm of-the(-things) to-me profitable
καὶ λυσιτελούντων, οὐ τοῖς κατὰ ψυχὴν πνευματικοῖς
and advantageous not by-the according-to soul spiritual
ἀγαθοῖς μόνον, ὧν οὐδὲν προτιμότερον ἢ τιμιώτερον
good(-things) only than-which nothing more-preferable or more-precious
τοῖς γε νοῦν ἔχουσιν, ἀλλ' ἐνίοτε καὶ τοῖς κατὰ
to-those at-least sense having but sometimes also with-the(-things) according-to
σῶμα βιωφελέσι τε καὶ χρειώδεσι συγκροτοῦντα καὶ
body livelihood-giving both and needful supporting and
καταρτίζοντα, καὶ τούτων ἔστιν ὅτε συντεινόντων ὡς τὰ
furnishing(-me) and these there-is when tending as the
πολλὰ πρὸς σωτηρίας ὁδόν, εὐχαριστίαν Θεοῦ τε καὶ
many(-times) toward of-salvation (the)-way thanksgiving to-God both and

εὐαρέστησιν. Καὶ γάρ, εἰ δεῖ παρρησιασάμενον εἰπεῖν,
well-pleasing and for if one-must speaking-boldly say
ὅτι καὶ κοινὸς προνοητὴς καὶ φροντιστὴς ἅπασι τοῖς
that also (a)-common provider and guardian for-all those
προσιοῦσι προύκειτο, παντί που δῆλον, τὸ δεσποτικὸν
approaching he-was-set-forth to-everyone surely (it-is)-clear the lordly
ὥστε πληροῦσθαι λόγιον ἐπ᾽ αὐτῷ καὶ δι᾽ αὐτοῦ ὅτι·
so-that to-be-fulfilled saying in him and through him that
«Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω.» Καὶ αὖθις
the(-one) coming to me not — I-will-cast out and again
τὸ τοῦ μεγάλου Παύλου· «Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ»
the(-word) of-the great Paul who is-weak and not am-I-weak
λέγοντος ἢ «Τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;» καὶ
saying or who is-made-to-stumble and not I burn and
πάλιν· «Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, ἵνα κερδήσω τοὺς
again I-became to-the all the all-things that I-may-gain the
πάντας,» εἰ οἷόν τε. Τίς γὰρ λυπούμενος ἀπήρχετο πρὸς
all if possible — who for grieving went-away to
αὐτὸν τὸν πάντοτε κατὰ Παῦλον ἐν Κυρίῳ χαίροντα καὶ
him the(-one) always like Paul in (the)-Lord rejoicing and
οὐκ εὐθέως τὴν λύπην εἰς χαρὰν μετέβαλλεν; τίς ἀσθενῶν
not at-once the grief to joy be-changed who sick
προσήρχετο τῷ δοκίμῳ τούτῳ ἰατρῷ καὶ οὐ παρευθὺ τὴν
approached the proven this physician and not immediately the
θεραπείαν κατάλληλον ψυχῆς τε καὶ σώματος ἐλάμβανεν;
healing fitting of-soul both and of-body received
τίς ἐν ἀνάγκαις καμπτόμενος ἢ κινδύνοις περιστατούμενος
who in necessities bent or by-dangers beset
προσέτρεχε τούτῳ τῷ θερμῷ βοηθῷ καὶ οὐ παραχρῆμα
ran to-this the warm helper and not at-once
τῶν συμφορῶν καὶ περιστάσεων ἄνεσιν εὕρισκεν; τίς
from-the misfortunes and circumstances relief found who

ἐν ἀπορίᾳ ἢ ὀρφανίᾳ τούτῳ προσέπιπτε τῷ μιμητῇ
in perplexity or orphanhood to-this(-one) fell-before the imitator
τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν καὶ
of-the father of-the orphans and judge of-the widows and
οὐ παραυτὰ τοῖς πατρικοῖς αὐτοῦ σπλάγχνοις υἱοπρεπῶς
not forthwith by-the paternal his bowels as-befits-a-son
τῶν δεόντων ἀπέλαυεν; τίς ἐν χηρείᾳ καὶ στενοχωρίᾳ
of-the needful(-things) enjoyed who in widowhood and distress
παράκλησιν προσῆγεν καὶ οὐ παραυτίκα τῆς προσηκούσης
(a)-plea brought and not at-once of-the fitting
προστασίας καὶ παραμυθίας ἀπώνατο; τίς ἐν ἀνομίαις καὶ
protection and consolation benefited who in iniquities and
ἁμαρτίαις πεφορτισμένος προσήγγιζε καὶ τὸ βαρὺ φορτίον
sins loaded drew-near and the heavy load
τῶν πεπραγμένων οὐ θᾶττον ἀπετίθετο, τὸν ἐλαφρὸν τῆς
of-the done not quickly put-down the light of-the
μετανοίας καὶ συμπαθείας ζυγὸν ἐν χρηστότητος τρόπῳ
repentance and sympathy yoke in of-kindness manner
παρ᾽ αὐτοῦ ἀναδεχόμενος; τίς βασιλεῦσιν ἢ δυνάσταις
from him taking-up who to-emperors or potentates
προσκεκρουκὼς προσέπλαζε τῷ κοινῷ τούτῳ καὶ σωτηρίῳ
having-offended approached the common this and saving
προσφυγίῳ καὶ οὐ συντόμως διὰ χαράγματος γραμμάτων
refuge and not speedily through (the)-marking of-letters
τῆς τιμίας χειρὸς ἐκείνης τὰς ἀφεσίμους λύσεις ἐλάμβανεν;
of-the precious hand that the releasing loosings received
τίς, συνελόντα φάναι, βιωτικοῖς ἢ ψυχικοῖς συναντῶν
who to-sum-up to-say with-worldly or psychic meeting
ἀτοπήμασιν οὐχ ὡς εἰς λιμένα γαλήνιον τῷ σωτηριώδει
troubles not as into (a)-harbor calm to-the saving

τούτῳ Θεοῦ θεράποντι προσωρμίζετο καὶ τὴν λύσιν
this of-God attendant came-to-anchor and the solution
προσήκουσαν τῶν κακῶν ἐκομίζετο;
fitting of-the evils carried-off
15 Καὶ τί δεῖ πολλὰ τῷ λόγῳ κάμνοντα τὴν ἐκ τῶν
and why must (one)-much with-the word toiling the from the
ῥημάτων μαρτυρίαν συλλέγειν, αὐτῶν τῶν πραγμάτων
words testimony collect very the deeds
διαπρυσίως βοώντων καὶ τὸ πιστὸν τῆς ἀληθείας
loudly crying and the trustworthiness of-the truth
οἴκοθεν καὶ παρὰ τῆς οἰκείας δυνάμεως ἀναντίρρητον τῷ
from-home and from the own power indisputable in-the
ὄντι κεκτημένων, πολλῶν τε τῶν εὐηργετημένων παρ᾽
reality having-possessed many and of-those benefited by
αὐτοῦ καὶ σεσωσμένων εἰσέτι καὶ νῦν τῷ βίῳ περιόντων
him and saved still even now in-the life surviving
καὶ ζώσῃ φωνῇ τῇ ἀληθείᾳ προσμαρτυρούντων τῇ
and with-living voice to-the truth bearing-witness by-the
τε πληθύϊ τὸ ἰσχυρὸν ἐχόντων καὶ ἄμαχον καὶ τῇ
and multitude the strength having and invincibility and by-the
φανερᾷ τῶν ἔργων ἀποδείξει τὸ ἀπαρέγγραπτόν τε καὶ
manifest of-the works demonstration the irrefutability both and
ἀνεπίληπτον; εἰ δὲ μέ τις δέξαιτο τῶν πολλῶν ἕνα τῇ
blamelessness if but me anyone would-accept of-the many one with-the
τε φιλαλήθει κρίσει συνηγοροῦντα καὶ τὴν εὐεργεσίαν
both truth-loving judgment advocating and the benefaction
ὡς ἐνὸν ἀνακηρύττοντα, ἐκκαλύψω κἀγώ τι τῶν
as (is)-possible proclaiming I-will-uncover I-too something of-the
ἀπορρήτων ἔτι καὶ ἀποκρύφων· καὶ γὰρ αἰνιγματωδῶς τε
secret(-things) still and hidden and for enigmatically both
καὶ παραβολικῶς ὑπ᾽ αὐτοῦ τινα λελεγμένα πολλάκις
and parabolically by him some(-things) said often

ἀκήκοα, ἅπερ στοχαστικῶς ἐπιστήσας τὸν νοῦν καὶ
I-have-heard which conjecturally having-set the mind and
σημειωσάμενος εὗρον ἐναργῶς ἐν τοῖς καιροῖς αὐτῶν
having-noted I-found clearly in the times their
πεπληρωμένα· ἔνια δέ ποτε καὶ προφανῶς ἀναφανδὸν
fulfilled some and once also openly plainly
ἀπεφθέγγετο, οὐχ ἑκὼν πρὸς ταῦτα κινούμενος, ἀλλὰ παρ᾽
he-uttered not willingly to these-things being-moved but by
ἄλλων πολλάκις παραβιαζόμενος καὶ καταναγκαζόμενος
others often being-forced and being-compelled
προύλεγεν, οἷον περὶ εὐτυχίας τινῶν ἢ ἀποτυχίας, περὶ
he-foretold such-as about success of-some or failure about
προκοπῆς τυχὸν ἢ δυστυχίας, περὶ ζωῆς μέτρου καὶ
progress perhaps or misfortune about of-life measure and
προθεσμίας θανάτου καὶ τῶν ἄλλων τῶν τούτοις
(the)-appointed-day of-death and the others the(-things) to-these
παραπλησίως ἐχόντων, περὶ ὧν ἐπίπαν φιλοπευστεῖν
similarly being about which in-general to-be-curious
εἰώθασιν ἄνθρωποι, ἃ καὶ μανθάνειν περὶ πολλοῦ
are-accustomed men which also to-learn of much
ποιούμενοι διὰ σπουδῆς τίθενται. Περὶ τούτων οὖν καὶ τῶν
making(-it) with zeal they-set about these then and the
τοιούτων ἀπόπειράν τινα καὶ δοκιμὴν πολλάκις ἐποιησάμην
such (a)-trial some and test often I-made
καὶ τὴν πληροφορίαν ἐνίοτε κατὰ πόδας ἑπομένην ἐφεῦρον·
and the assurance sometimes at (the)-heels following I-found
τοῖς γὰρ ῥήμασιν αὐτοῦ προγνωστικοῖς ἐπηκολούθει τὰ
to-the for words his prognostic followed the
πράγματα· καὶ γὰρ οὐκ ἦν ἀργὸν ἢ ἀνόνητον παρ᾽ αὐτοῦ
facts and for not was idle or useless from him
ῥῆμα προσενεχθῆναί ποτε. Οὐ πρὸς παρόντας δὲ μόνον
(a)-word to-be-brought-forth ever not to present(-ones) and only

καὶ βλεπομένους, ἀλλὰ καὶ πρὸς ἀπόντας ἤδη καὶ μὴ
and seen(-ones) but also to absent(-ones) already and not
παρόντας ἡ τοῦ ἐν αὐτῷ κατοικοῦντος πνεύματος δύναμις
present the of-the in him dwelling spirit power
προβλεπτικῷ τηλαυγῶς προέτρεχε προλάμπουσα χαρίσματι.
with-foreseeing far-shining ran-ahead shining-before gift
Ἀλλὰ καλεῖ λοιπὸν ἡμᾶς ὁ καιρὸς καὶ ἐπὶ τὴν τῶν κατὰ
but calls further us the time also to the of-the in
μέρος θαυμάτων αὐτοῦ διήγησιν· οὐ γὰρ δὴ τὰ εἰς
part wonders his narration not for indeed the toward
αὐτὸν παρὰ Θεοῦ πεπραγμένα μόνον ἐκδιηγεῖσθαι δεῖ
him from God done only to-relate (one)-must
θαυμάσια, ἀλλά γε καὶ τὰ δι' αὐτοῦ εἰς ἑτέρους
wonders but at-least also the(-ones) through him to others
διαφόρους γεγενημένα χρεὼν φανερῶς ἀναγράφεσθαι, ὡς
various having-happened (it-is)-needful clearly to-be-recorded that
ἂν δι' ἀμφοτέρων ὁ τῶν θαυμασίων Θεὸς δοξασθῇ,
— through both the of-the wonders God may-be-glorified
ὁ ἐνδοξαζόμενος ἀεὶ κατὰ γενεὰν καὶ γενεὰν ἐν τοῖς
the(-one) being-glorified always from generation and generation in the
ἁγίοις καὶ ἀντιδοξάζων ἀξίως τοὺς δοξάζοντας αὐτόν.
saints and glorifying-in-return worthily those glorifying him
16 Ἄξιον δὲ πρό γε τῶν ἄλλων ἁπάντων προτάξαι τῷ
worthy and before at-least the others all to-set-first in-the
διηγήματι τὸ μεῖζόν τε καὶ ἐξαίσιον τεράστιον, ὃ
narrative the greater both and extraordinary prodigy which
παραπλησίως αὐτῷ τῶν δεσποτικῶν θαυμάτων ἐξείργασται,
like him of-the lordly wonders has-been-worked
λέγω δὴ περὶ τὴν τῶν ἰχθύων ἄγραν τῆς πλησιαζούσης
I-mean indeed about the of-the fish catch of-the neighboring
τότε τῷ στύλῳ τούτου ἐποχῆς. Καὶ γὰρ συνέβη τοὺς
then the pillar his of-(the)-station and for it-happened the

περὶ ταύτην ἀγρεύοντας ἁλιεῖς ἔν τινι καιρῷ πολυήμερον
about this catching fishermen at some time (a)-many-days
προσεδρείαν πεποιημένους ἐν κόπῳ πολλῷ ἀπράκτους καὶ
waiting having-made in toil much fruitless and
κενοὺς τῆς ἐλπιζομένης ἁλείας διατελεῖν καὶ κεναῖς ταῖς
empty of-the hoped-for fishing to-continue and with-empty the
χερσὶν οἴκαδε παλινοστεῖν· ἐξ ὧν μεταστειλάμενος ὁ
hands home to-return of whom having-summoned the
θεόληπτος οὗτος ἀνὴρ ἕνα, τὸν ἐν αὐτοῖς πρωτεύοντα,
God-possessed this man one the(-one) among them first
εἰρωνικῇ δῆθεν προσποιήσει χρησάμενος πειραστικῶς αὐτὸν
ironic forsooth pretense having-used testingly him
ἀνηρώτα. «Διὰ τί, φησίν, οὐκ ἤνεγκας ἡμῖν ἰχθύας ἐν
asked for what he-says not did-you-bring us fish in
ταῖς παρελθούσαις ταύταις ἡμέραις;» Ὁ δὲ διεβεβαιοῦτο
the past these days he and affirmed
μεθ' ὅρκων ἀπολογούμενος ὡς· «Ἤδη τριάκοντα πλήρεις
with oaths defending-himself that already thirty full
ἡμέραι παρῆλθον, ἐν αἷς παννύχιόν τε καὶ πανημέριον
days have-passed in which all-night both and all-day
ταλαιπωρούμενοι καὶ κοπιῶντες εἰς μάταια οὐδ' ὅλως
toiling and laboring for vain(-ends) not at-all
οὐδὲν λαβεῖν ἠδυνήθημεν, ὡς ἐκ ταύτης τῆς ἀποτυχίας
anything to-take we-could so-that from this the failure
ὑστερεῖσθαι πάντας ἡμᾶς καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς
to-be-in-want all us also of-very the necessary food
καὶ καθ' ὑπερβολὴν θλίβεσθαι καὶ ἀθυμεῖν.» Πρὸς ὃν
and beyond measure to-be-afflicted and to-be-despondent to whom
ὁ συμπαθέστατος πατὴρ ἀποκρινάμενος παρήγγειλεν
the most-sympathetic father having-answered charged
παραθαρρύνων ἀποθέσθαι μὲν τὴν θλῖψιν αὐτούς, ἀναθαρρεῖν
encouraging(-them) to-put-off indeed the affliction them to-take-heart

δὲ καὶ εὐθυμεῖν, ὡς τοῦ Χριστοῦ διὰ τάχους ὅσον οὔπω
and also to-be-cheerful as — Christ with speed as-much-as not-yet
δώσοντος αὐτοῖς πλῆθος ἰχθύων εἴσω δικτύων. Καὶ τοῦτο
about-to-give them (a)-multitude of-fish within nets and this
εἰπὼν εὐλογεῖ μὲν παρευθὺ ὕδωρ ἐν ἀγγείῳ, ᾧ πρὸς
having-said he-blesses indeed at-once water in (a)-vessel which for
πόσιν συνήθως ἔχων ἐκέχρητο, καὶ δίδωσι τῷ ἁλιεῖ·
drinking as-usual having he-used and gives(-it) to-the fisherman
ἐπιδίδωσι δὲ τούτῳ καὶ τμῆμα ῥάκους, ᾧ τὰς ἱερὰς
he-hands-over and to-him also (a)-piece of-rag with-which the holy
χεῖρας ἐκεῖνος ἐξέματτεν, ἐντειλάμενος, ὡς τὸ μὲν εὐλογηθὲν
hands he wiped having-commanded that the indeed blessed
ὕδωρ ἐκεῖνο θᾶττον τοῖς δικτύοις προσεπιρρᾶναι, τὸ δέ
water that quickly on-the nets to-sprinkle the and
γε ῥάκος ἐν ἄκροις τούτων προσεπιδῆσαι· προσέταττε δὲ
indeed rag on (the)-ends of-these to-tie-on he-ordered and
τὸ τάχος ἀγαγεῖν αὐτῷ ἐκ τῶν ἀγρευθησομένων ἰχθύων
the speed to-bring him from the to-be-caught fish
ἀποδεκάτωσιν τὸν ἀριθμὸν τριάκοντα. Καὶ ὁ λόγος θᾶττον
(a)-tithe the number thirty and the word quickly
ἔργον γεγένητο· ἅμα γὰρ τῷ ῥαντισθῆναι τὰ δίκτυα
deed became as-soon-as for the to-be-sprinkled the nets
τῷ τοῦ ὕδατος ἁγιάσματι καὶ τὸ ἱερὸν ῥάκος ἐν αὐτοῖς
with-the of-the water sanctification and the holy rag on them
προσεπιδεθῆναι, παραυτίκα πλῆθος ἰχθύων συνδεδραμηκὸς
to-be-tied-on at-once (a)-multitude of-fish having-run-together
συνελήφθη, πρὸς μέτρον ἀριθμουμένων τριακοσίων
was-caught to (the)-measure numbered of-three-hundred
τριάκοντα· ἐξ ὧν ἀποδεκάτωσιν ὡς προσετέτακτο
thirty from which (a)-tithe as had-been-ordered
προσήνεγκεν τοὺς τριάκοντα ἰχθύας κατὰ τὴν τοῦ
he-brought the thirty fish according-to the of-the

θεοφόρου πατρὸς θεόπνευστον πρόρρησιν. Πρὸς οὓς
God-bearing father God-inspired prediction to whom
αὖθις θεοφορούμενος καὶ τὴν τοῦ θαύματος διπλασιάζων
again inspired-by-God and the of-the wonder doubling
εὐεργεσίαν ἔφησεν ὁ μακαρίτης· «Πορεύθητε κατὰ τάχος καὶ
benefaction said the blessed(-one) go with speed and
τῶν δικτύων ὑμῶν ἔνδοθεν εὑρήσετε πάλιν ἄλλους ἰχθύας,
the nets your within you-will-find again other fish
ἐξ ὧν ἐνεγκεῖν ἀποδεκάτωσιν ὀφείλετε πεντεκαίδεκα.»
of which to-bring (a)-tithe you-ought fifteen
Οἳ καὶ δραμόντες κατ᾽ αὐτὴν τὴν ὥραν συνέλαβον <υν΄,
who also having-run at very the hour caught <450
ὧν τοὺς ιε΄ ἔχοντες> μετὰ χεῖρας παρεγένοντο.
of-which the 15 having> in hands arrived
Πρὸς οὓς ὁ θαυμάσιος ἀπεκρίνατο ὡς· «Ἐγὼ μὲν
to whom the wonderful(-man) answered that I indeed
εἶπον ὑμῖν ἕνα τῶν δέκα κομίσαι τῶν νῦν ἀγρευθέντων
told you one of-the ten to-bring of-the now caught
ἰχθύων, αὐτοὶ δὲ παρήκοοι γεγονότες τῶν ἕνα τριάκοντα
fish you but disobedient having-become of-the one thirty
προσηνέγκατε· ἐπεὶ δὲ τοῦτο οὕτως ἀβουλήτως ἐξειργάσασθε,
brought since and this so unwillingly you-have-worked
τέως τῇ σήμερον ἡμέρᾳ ἑτέρας ἄγρας οὐκ ἐπιτεύξεσθε·
for-now on-the today day another catch not you-will-obtain
πλὴν αὐτοὺς μὲν δὴ τοὺς ἰχθύας, οὓς ἐπιάσατε νῦν, πρὸς
except very indeed now the fish which you-caught now for
ἀπεμπόλησιν τὸ τάχος ἀπόδοσθε. Εἶθ᾽ οὕτως συνελθόντες
sale the speed sell then so having-come-together
ἅμα πάντες δεῦτε ἀριστήσατε παρ᾽ ἐμοὶ καὶ φαγόντες μετὰ
together all come breakfast with me and having-eaten with
τῶν ἀδελφῶν ἐκ τῶν ὀψαρίων ὧν πρός με προσηνέγκατε,
the brothers from the fish which to me you-brought

Θεῷ τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ εὐγνωμόνως
to-God the(-one) doing wonders great alone gratefully
εὐχαριστίαν προσάξατε.» Τούτων οὕτως λεχθέντων τε
thanksgiving offer these-things so said both
καὶ πραχθέντων παρ᾽ αὐτοῦ παραδόξῳ λόγῳ καὶ τρόπῳ,
and done by him with-marvelous word and manner
πάντες ἐξεπλάγησαν, τὸ διορατικὸν καὶ προφητικώτατον
all were-amazed the discerning and most-prophetic
χάρισμα τῆς μακαρίας ἐκείνης ψυχῆς ἐκθαμβούμενοι.
gift of-the blessed that soul astonished-at
Βεβαιωθέντες οὖν ἔκτοτε καὶ πιστωθέντες οἱ ἄνθρωποι
having-been-confirmed then from-then and having-been-assured the men
τοῖς παραδόξοις τούτοις θαυμασίοις καὶ τοῖς λογίοις τῆς
by-the marvelous these wonders and by-the words of-the
χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ,
grace the(-words) going-out from the mouth his
ὁπηνίκα συνέβαινε τῆς τῶν ἰχθύων ἄγρας ἐξαστοχοῦντας
whenever it-happened of-the of-the fish catch missing
ἀποτυγχάνειν αὐτούς, προσήρχοντο μετ᾽ εὐλαβείας καὶ
to-fail them they-approached with reverence and
πίστεως, κομιζόμενοι παρὰ τῆς ἁγίας ἐκείνης χειρὸς
faith receiving from the holy that hand
πῆ μὲν ὕδωρ ἁγιασθὲν πῆ δὲ ἄρτον εὐλογηθέντα·
at-one-time indeed water sanctified at-another and bread blessed
καὶ οὕτω τοῖς ἑαυτῶν δικτύοις ὥς τι δέλεαρ ἡδὺ
and so to-the their-own nets as some bait sweet
περιτιθέντες, δαψιλοῦς ὅτι μάλιστα τῆς ἁλείας ἀπέλαυον.
putting-around abundant as much-as-possible of-the fishing they-enjoyed

Luke healed the possessed bath-stoker Andrew with pieces of his belt and towel, and Andrew's foster-brother Peter in the same way; then two rustics from Heraclea and a possessed boy. The patriarch Theophylact, past all medical help, was healed by bread Luke blessed and often climbed a ladder to visit him; the magister Basil was cured of three years' kidney pains with Luke's washing water. The subdeacon Sergius, beaten senseless by a mime and given up by the doctors, scrawled a letter to Luke, who answered that he would not die before coming to see him.

Οὐκ ἐν τούτοις δὲ μόνον τῷ δραστικῷ τῷδε φαρμάκῳ πρὸς 17
not in these and only the effective this remedy for
θαυματουργίας δρᾶμα ὁ θαυμάσιος οὑτοσὶ πατὴρ ἐκέχρητο,
of-wonder-working (the)-act the wonderful this-here father used
λέγω δὴ τῷ τοῦ εὐλογητοῦ ἄρτου καὶ τῷ τοῦ ἡγιασμένου
I-mean indeed the of-the blessed bread and the of-the sanctified
ὕδατος, ἀλλὰ μὴν καὶ τοῖς ἐν διαφόροις νοσήμασι
water but indeed also for-those in various diseases
καὶ παθήμασι συνεχομένοις ἀνιαροῖς καὶ χαλεποῖς, πίστει
and sufferings held painful and grievous in-faith
προσερχομένοις αὐτῷ καὶ προσπίπτουσι, ταῖς αὐταῖς
approaching him and falling-down-before(-him) with-the same
εὐλογίαις πρὸς ἰατρείαν καὶ θεραπείαν κεχρημένος, ἑκάστοτε
blessings for cure and healing using each-time
τὴν εὐρωστίαν θᾶττον παρείχετο. Οὐκ ἐν ἀρρωστήμασι δὲ
the robust-health quickly he-provided not in illnesses and
καὶ παθήμασι σωματικοῖς μόνον τὰς θεραπείας ἐπικλήσει
also sufferings bodily only the healings by-invocation
καὶ δυνάμει Χριστοῦ παραδόξως ἐπεδείκνυτο, ἀλλὰ καὶ
and power of-Christ marvelously he-displayed but also
πλείστους ἀπὸ πνευμάτων ἐνεργουμένους ἀκαθάρτων τῇ
very-many by spirits possessed unclean by-the

χάριτι τῆς ἐν αὐτῷ σκηνωσάσης τοῦ θείου πνεύματος
grace of-the in him having-dwelt of-the divine spirit
ἐνεργείας ἐθεράπευσεν· ἐξ ὧν ὀλίγους ἐντάξαι τῷ παρόντι
working he-healed of whom (a)-few to-insert in-the present
προτεθυμήμεθα διηγήματι, τόν τε τοῦ λόγου κόρον
we-have-been-eager narrative the both of-the word surfeit
ἐκκλίνοντες καὶ τὸ δύσπιστον καὶ δυσπαράδεκτον τῶν
avoiding and the incredulity and unacceptability of-the
πολλῶν ὑποπτεύοντες· ἀρκέσει δὲ πάντως τοῖς εὐπιθῶς
many suspecting it-will-suffice and surely for-those readily
καὶ εὐγνωμόνως πίστει τὰ πιστὰ παραδεχομένοις
and gratefully in-faith the trustworthy(-things) receiving
ἐκ τῶν μικρῶν τὰ μεγάλα καταμαθεῖν καὶ ἐκ τῶν
from the small(-things) the great(-things) to-learn and from the
ὀλιγοστῶν τὰ πλείονα καταστοχάσασθαι, ὥσπερ ἀπὸ
very-few the more to-conjecture as from
κρασπέδου τὸ ὕφασμα καὶ ἐξ ὀνύχων τὸν λέοντα.
(the)-fringe the woven(-cloth) and from (the)-claws the lion
18 Ἀνδρέας τοίνυν καὶ Πέτρος πρῶτοι προσηκόντως τῶν
Andrew therefore and Peter first fittingly of-the
λοιπῶν πρὸς πίστωσιν τῆς τῶν θαυμάτων μαρτυρίας
rest for confirmation of-the of-the wonders testimony
τῶν ἄλλων ὄντως ἐπιτηδειοτέρου τε καὶ ἀξιοπιστοτέρου,
than-the others truly more-suitable both and more-trustworthy
Σοφίας φημὶ δὴ τῆς εὐσεβοῦς βασιλίδος βίῳ καὶ λόγῳ
of-Sophia I-mean indeed the pious empress by-life and word
κεκοσμημένης καὶ δι' ἀμφοῖν τὸ πιστὸν κεκτημένης,
adorned and through both the trustworthiness having-acquired
ἧστινος πρὸς τὴν τοῦ λουτροῦ καμιναίαν ἔκκαυσιν
of-whom for the of-the bath furnace kindling
ἐξυπηρετεῖν ὁ ῥηθεὶς Ἀνδρέας ἐτέτακτο· ὅστις ποτὲ
to-serve the said Andrew had-been-appointed who once

ἀκαθάρτῳ δαιμονίῳ ληφθεὶς χαλεπῶς ὁσημέραι πρὸς
by-(an)-unclean demon having-been-seized grievously daily by
αὐτοῦ ἐνηδρεύετο, πῆ μὲν τῷ παφλάζοντι πυρὶ τῆς
it was-ambushed at-one-time indeed into-the seething fire of-the
καμίνου προσαπορριφῆναι, πῆ δὲ τοῖς κοχλάζουσι
furnace to-be-thrown at-another-time and in-the boiling
θερμοῖς ὕδασιν ἐναποπνιγῆναι· τοῦτον ἀποσταλέντα πρὸς
hot waters to-be-drowned him sent to
αὐτὸν ὁ σημειοφόρος δεξάμενος καὶ τὰ κατ' αὐτὸν
him the sign-bearer having-received and the(-things) concerning him
ἀναμαθών, δι' ὅλης μὲν νυκτὸς ἀκαταπαύστοις εὐχαῖς
having-learned through whole indeed (the)-night with-unceasing prayers
καὶ κατηχήσεσιν ἐχρήσατο πρὸς ἀποτροπὴν καὶ ἀποδίωξιν
and catechizings he-used(-them) for turning-away and driving-out
τοῦ πονηροῦ πνεύματος· πρωῒθεν δὲ τῆς περὶ τὴν ὀσφὺν
of-the evil spirit at-dawn and of-the around the loins
αὐτοῦ δερματίνης εἴτουν ἀποστολικῆς ζώνης τμῆμα λαβὼν
his leather that-is apostolic belt (a)-piece having-taken
καὶ ῥάκος λινοῦν, ἐν ᾧ τὰς ἱερὰς χεῖρας ἐξέματτεν, ὡς
and (a)-rag linen with which the holy hands he-wiped as
ἄλλο τι σημικίνθιον ἀποστολικὸν ἐπιδίδωσι τῷ πάσχοντι
another some apron apostolic he-hands-over to-the sufferer
καὶ τοῦτον ἐξέπεμψεν, ἐντειλάμενος τὸ μὲν τῆς δερματίνης
and him sent-out having-commanded the indeed of-the leather
ἀποστολικῆς ζώνης κόμμα τῷ οἰκείῳ κόλπῳ ἐπεμβαλόντα
apostolic belt piece in-the own bosom having-put-in
βαστάζειν διαπαντός, τὸ δὲ χειρόμακτρον ῥάκιον αὐτοῦ
to-carry always the and towel little-rag his
σταυροειδῶς συγκόψαι πρὸς διάφορα τμήματα καὶ τοῖς
crosswise to-cut-up into various pieces and to-the
τοίχοις ἐν ἥλοις ἄλλο ἀλλαχοῦ τοῦ βαλανείου προσηλῶσαι,
walls with nails one another-place of-the bath to-nail

ἐν οἷς τόποις μάλιστα τὴν τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς
in which places especially the of-the against him plot
ἔνεδραν τὸ βροτοκτόνον δαιμόνιον πεποίηται. Καὶ τούτων
ambush the man-slaying demon had-made and these
οὕτως γεγενημένων ὑπ᾽ αὐτοῦ, ἀπηλλάγη παραχρῆμα
so having-been-done by him was-freed at-once
τῆς τοῦ πονηροῦ πνεύματος ἐνεργείας ὁ ἄνθρωπος
from-the of-the evil spirit working the man
καὶ τελείας τῆς ἐλευθερίας ἀπολελαυκὼς Χριστῷ τὴν
and perfect the freedom having-enjoyed to-Christ the
θεοπρεπῆ προσῆγεν εὐχαριστίαν καὶ τῷ τούτου γνησίῳ
godly brought thanksgiving and to-the his genuine
καὶ θαυμαστῷ θεράποντι. Μεθ᾽ ὃν καὶ ὁ προρρηθεὶς
and wonderful attendant after whom also the aforesaid
Πέτρος ὁ τούτου σύντροφος καὶ ὁμοδέσποτος, τῷ ὁμοίῳ
Peter the his foster-brother and fellow-servant into-the similar
καὶ παραπλησίῳ χαλεπῷ πειρατηρίῳ περιπεπτωκὼς τῆς
and like grievous trial having-fallen-into of-the
τοῦ πονηροῦ πνεύματος προσβολῆς καὶ πρὸς τοῦτο δὴ
of-the evil spirit attack and to this indeed
τὸ κοινὸν θεραπεῖον ἀπενεχθείς, τῆς αὐτῆς ἐπιμελείας
the common hospital having-been-brought of-the same care
τε καὶ θεραπείας ἐπιτυχών, τῆς ἴσης ἐλευθερίας καὶ
both and healing having-obtained the equal freedom and
σωτηρίας τῷ προτέρῳ παραδόξως ἀπέλαυσεν.
salvation with-the former marvelously enjoyed

19 Σὺν τούτοις δὲ καὶ μετὰ τούτους καί τινες ἀγρόται δύο
with these and also after these also some rustics two
ἐξ Ἡρακλείας τῆς πρὸς τὸν Εὔξεινον λεγόμενον Πόντον
from Heraclea the(-city) on — Euxine called Sea
κειμένης ὁρμώμενοι, ἐν ἑτέρῳ θάτερος τούτων καιρῷ καὶ
lying setting-out at another the-one of-these time and

οὐ κατὰ ταὐτὸν παραγίνονται πρὸς τοῦτον τὸν μέγαν
not at the-same(-time) arrive to this the great
σημειοφόρον πατέρα Λουκᾶν. Ὧν ὁ μὲν ἐνεργούμενος
sign-bearer father Luke of-whom the(-one) indeed possessed
ἀπὸ πονηροῦ πνεύματος ἄφωνος ἐπὶ πλεῖστον ἐκυλινδεῖτο
by (an)-evil spirit voiceless for (the)-most(-time) rolled
ἀφρίζων, ἀνθρακεὺς τὴν ἐργασίαν ὑπάρχων· ὁ δ᾽
foaming (a)-charcoal-burner (by)-the trade being the and
ἕτερος νυκτερινῷ καὶ ζοφερῷ συναντηθεὶς ἐριννύϊ καθ᾽
other by-(a)-night and gloomy having-been-met fury on
ὁδόν τινα πορευόμενος δι᾽ ὅλης νυκτὸς ἔκειτο τῆς
(a)-road certain going through whole (the)-night lay with-the
ἴσης ἀφωνίας καὶ ἀκινησίας τῇ νάρκῃ κεκρατημένος,
equal voicelessness and immobility by-the numbness held
ὃς ἀμπελουργίας ἐπιτήδευμα μαθὼν μετήρχετο· καὶ
who of-vine-dressing (the)-trade having-learned pursued(-it) and
τὸν μὲν πρότερον παραγενόμενον καὶ τὴν τοῦ σκολιοῦ
the(-one) indeed first having-arrived and the of-the crooked
δράκοντος ἐπισυμβᾶσαν αὐτῷ ἐκτραγῳδοῦντα δεινὴν
serpent having-befallen him relating-tragically terrible
ἐπήρειαν, εὐχαῖς μὲν τὰ πρῶτα ταῖς προσηκούσαις καὶ
abuse with-prayers indeed the first(-things) the fitting and
*** κατεπῇδεν <ὁ> ἀνήρ· ἔπειτα καὶ τὸν τῆς εὐλογίας
(lacuna) chanted-over(-him) <the> man then also the of-the blessing
αὐτὸν συνήθως ἄρτον προενέγκας φαγεῖν παρεσκεύασεν·
him as-usual bread having-brought-forward to-eat he-made(-him)
αὖθις δὲ σταυροῦ τύπον ἔκ τινος ξύλου παρατυχόντος
again and of-(a)-cross (a)-figure from some wood happening(-to-hand)
ταῖς οἰκείαις κατασκευάσας χερσὶν ἐπιδίδωσι, τοῦτο τῷ
with-the own having-made hands he-gives this(-thing) on-the
στήθει φορεῖν ἐντειλάμενος· στίχον τε τὸν πρόχειρον εἰς
chest to-wear having-commanded(-him) (the)-verse and the handy for

εὐχὴν πᾶσι κατὰ κοινοῦ ἀνὰ στόμα παραδεδομένον κατὰ
prayer to-all in common in mouth handed-down according-to
ἀριθμὸν τῶν ρν΄ ψαλμῶν λέγειν δι᾽ ὅλης παρήγγειλε
(the)-number of-the 150 psalms to-say through whole he-charged(-him)
τῆς ἡμέρας, τὴν συνήθη τῆς ἀνθρακοποιΐας ἐργασίαν
the day the customary of-the charcoal-making work
μεταχειριζόμενον. Τὰς τοιαύτας οὖν εὐχὰς καὶ ἐντολὰς
handling the such then prayers and commands
τοῦ μεγάλου Λουκᾶ λαβὼν ὁ ἄνθρωπος ἐπορεύθη, θεῖον
of-the great Luke having-taken the man went divine
θάρσος ἐντεῦθεν προσλαβὼν ἐλπίδος σωτηρίου καὶ πίστεως·
courage from-here having-taken-on of-hope saving and of-faith
ὃς μετ᾽ οὐ πολλὰς ἡμέρας χαίρων ὑπέστρεψεν εὐχαριστίαν
who after not many days rejoicing returned thanksgiving
ἀπονέμων χάριν τῆς αὐτοῦ θεραπείας τῷ Θεῷ καὶ
rendering for-the-sake-of the his healing — to-God and
τῷ τούτου θείῳ θεράποντι. Ὡσαύτως δὴ καὶ τὸν μετ᾽
to-the his divine attendant likewise indeed also the(-one) after
αὐτὸν παραγενόμενον δεύτερον καὶ τὴν νυκτερινὴν ἐπίθεσιν
him having-arrived second and the nocturnal attack
τοῦ Βελίαρ ἀπαγγείλαντα μετὰ τὴν ἐξ ἔθους εὐχὴν τοῦ
— of-Beliar having-reported after the from custom prayer of-the
τῆς εὐλογίας ἄρτου μεταλαβεῖν προετρέψατο· καὶ τοῦτον
of-the blessing bread to-partake-of he-urged and this
λαβὼν καὶ φαγὼν πρὸς ἄμετρον ἔμετον παραχρῆμα
having-taken and having-eaten to immeasurable vomiting at-once
ταραχθεὶς ὁ ἄνθρωπος συγκεκίνητο, συνεξεμέσας αὐτίκα
troubled the man was-convulsed having-vomited-out at-once
δὴ παραδόξῳ ἀναδόσει τὴν φθοροποιὸν βλάβην τοῦ
indeed by-marvelous discharge the destructive harm of-the

βροτοκτόνου Βελίαρ, τῆς ἐκείνου τε πονηρᾶς ἐνεργείας
man-slaying Beliar of-the his both evil working
καὶ τυραννίδος κρείττονι δυναστείᾳ αὐθωρὸν ἀπαλλαγείς.
and tyranny by-stronger power on-the-spot freed
Παῖς δέ τις αὖθις δωδεκαετῆ τὴν ἡλικίαν ἄγων προσηνέχθη 20
(a)-boy and certain again twelve-years-old the age passing was-brought
τῷ σημειοφόρῳ τούτῳ πατρί· ὃς καὶ αὐτὸς ὑπὸ πονηροῦ
to-the sign-bearer this father who also he-himself by (an)-evil
πληγεὶς πνεύματος χαλεπῶς ὑπ᾽ αὐτοῦ τε τυραννούμενος,
struck spirit grievously by it and tyrannized
ἐν αὐταῖς ταῖς ὥραις τῆς ἐπαναστάσεως εἴτουν ἐπιθέσεως
in very the hours of-the rising that-is attack
αὐτοῦ πρηνὴς ἄφνω καταπίπτων ὡσεὶ νεκρὸς ἄφωνος ἐπὶ
its prone suddenly falling-down as-if dead voiceless for
πολὺ διετέλει καὶ ἀναίσθητος κείμενος· ἐφ᾽ ᾧ ποιήσας
long continued and senseless lying on which having-done
ὁ θεσπέσιος οὗτος πατὴρ τὰς ἐξ ἔθους εὐχὰς θᾶττον
the divine this father the from custom prayers quickly
ἀπήλλαξε τὸν πάσχοντα παῖδα τῆς πικρᾶς τυραννίδος
freed the suffering boy from-the bitter tyranny
τοῦ ἀντικειμένου. Καὶ ταῦτα μὲν ἕκαστα μέγιστά τε καὶ
of-the adversary and these-things indeed each greatest both and
λίαν ἐξαίσια πάντα, τῆς τοῦ Θεοῦ δυνάμεως καὶ τῆς τοῦ
very extraordinary all of-the — of-God power and of-the of-the
θεράποντος αὐτοῦ χάριτος δεῖγμα μέγιστον ἐμφαίνοντα.
attendant his grace (a)-proof very-great showing
Τὸ δὲ περὶ τὸν ἀοίδιμον πατριάρχην Θεοφύλακτον 21
the and about the celebrated patriarch Theophylact
τελεσθὲν τεράστιον παρὰ τοῦ θεοφόρου πατρός, τίς ἄρα
accomplished prodigy by the God-bearing father who then
παραδραμεῖν ἑκὼν ⟨ἂν⟩ ἀνάσχοιτο καὶ τοῖς ἀκροαταῖς
to-pass-over willingly <—> would-endure and for-the hearers

τοσαύτην τὴν ζημίαν προξενῆσαι καὶ ἑαυτῷ κατάκρισιν
so-great the loss to-procure and on-himself condemnation
οὐ τὴν τυχοῦσαν ἐπιγράψαι, τῆς τοῦ πονηροῦ δούλου καὶ
not the ordinary to-inscribe of-the of-the wicked servant and
ὀκνηροῦ τοῦ τὸ τάλαντον εἰς γῆν κατορύξαντος
slothful the(-one) the talent in (the)-ground having-buried
καταδίκης ὁμοίαν καὶ παραπλήσιον· καὶ μάλιστα θαῦμα
judgment similar and like and especially (a)-wonder
μέγιστον, πολλῶν θαυμασίων τῷ μεγέθει τῆς χάριτος
very-great of-many wonders in-the greatness of-the grace
παραδόξως ὑπερανεστηκός. Ὁπηνίκα γὰρ ἐπῆλθεν αὐτῷ
marvelously surpassing when for came-upon him
βαρείας ἀσθενείας ἀρρώστημα, πάσης ἰατρικῆς ἐπιστήμης
of-heavy illness (an)-ailment than-all medical knowledge
καὶ θεραπείας κρεῖττον δεικνύμενον κἀκ τούτου τὴν
and treatment stronger shown and-from this the
παντελῆ ἀπόγνωσιν αἰνιττόμενον, οὐ τὴν τελευταίαν λέγω
utter despair hinting not the last I-mean
δὴ καὶ πρὸς θάνατον τελευτήσασαν ἀρρωστίαν, ἀλλὰ
indeed and to death having-ended illness but
τὴν πρὸ ταύτης πρὸ χρόνων τινῶν ἐπισυμβᾶσαν αὐτῷ,
the(-one) before this before years some having-befallen him
μηδὲν ἀποδέουσαν τῆς ἐσχάτης, ἀλλ᾽ ἴσην τυγχάνουσαν
nothing falling-short-of the last but equal being
τῇ τε βαρύτητι τῶν πόνων καὶ τῇ τοῦ πάθους ὀξύτητι,
in-the both heaviness of-the pains and in-the of-the suffering acuteness
ὡς οὖν ᾔσθετο παντελῆ τὴν ἀπόγνωσιν ἀνάνευσιν ἐν
when then he-perceived utter the despair recovery from
τῷ θανάτῳ μηδαμῶς ἔχουσαν, ἱκέτας ἐκπέμπει πρὸς
the death in-no-way having suppliants he-sends to
τὸν θεσπέσιον πατέρα Λουκᾶν, τῆς λυπηρᾶς ἀγγελίας
the divine father Luke of-the grievous message

τὴν συμφορὰν ἀπαγγέλλοντας καὶ τῆς παρ᾽ αὐτοῦ
the misfortune reporting and of-the from him
προστασίας ἐπικουρίαν ἐξαιτουμένους. Ὁ δὲ τῷ συνήθει
protection (the)-help asking he and the customary
χρησάμενος φαρμάκῳ τῶν προσευχῶν, τὸν ἐξ ἔθους
having-used remedy of-the prayers the from custom
ἄρτον ἐπευλογήσας πρὸς τὸν πατριάρχην ἐξέπεμψε, δι᾽
bread having-blessed to the patriarch sent(-it) through
οἰκείας χειρὸς γραμμάτων σημάνας καὶ προτρεψάμενος
own hand of-letters having-signified and having-urged(-him)
ἀδιστάκτῳ πίστει μεταλαβεῖν· ὃν δεξάμενος παραχρῆμα
with-undoubting faith to-partake which having-received at-once
καὶ φαγὼν μετὰ πίστεως, τῆς ἰάσεως ταχείας παρὰ
and having-eaten with faith of-the healing swift beyond
πᾶσαν προσδοκίαν ἀνθρωπίνην παραδόξως ἐπέτυχεν.
all expectation human marvelously he-obtained
Ἐκ ταύτης τῆς παραδοξοποιοῦ θεραπείας πίστεως 22
from this the marvel-working healing of-faith
θερμοτέρας πόθον ἐσχηκὼς πρὸς τὸν περιβόητον τουτονὶ
warmer (a)-longing having-had toward the famous this-here
πατέρα Λουκᾶν, ὁρμῇ τινι θεοσεβεστέρᾳ κινηθεὶς εἰς
father Luke by-impulse some more-godly moved into
ἐπιθυμίαν ἔνθεον, ἐλήλυθεν ἀσπάσασθαι τὴν τιμίαν ἐκείνην
desire divine he-came to-kiss the precious that
κεφαλὴν στόμα τε πρὸς στόμα περιπτύξασθαι καὶ ἐνώπιος
head mouth and to mouth to-embrace and face
ἐνωπίῳ πρόσωπον πρὸς πρόσωπον κατιδεῖν καὶ συλλαλῆσαι
to-face face to face to-behold and to-converse
μετ᾽ αὐτοῦ· καὶ δὴ τῷ τοιῷδε διαπύρῳ πόθῳ πυρούμενος
with him and indeed by-the such burning longing being-inflamed
κλίμακα κατασκευασθῆναι θᾶττον προστάττει, μέχρι τῆς
(a)-ladder to-be-built quickly he-orders as-far-as the

τοῦ κίονος κεφαλίδος ἀφικνουμένην· δι᾽ ἧς τὴν
of-the column capital reaching through which the
ἀνάβασιν συχνότερον ποιούμενος ἱκανῶς τὸν ἐνόντα πόθον
ascent rather-often making sufficiently the indwelling longing
ἀφωσιώσατο· οὐ γὰρ ἅπαξ καὶ δὶς ἀλλὰ πολλάκις ἀνελθὼν
he-satisfied not for once and twice but often having-gone-up
καὶ προσομιλήσας αὐτῷ καὶ συνεστιαθεὶς καὶ τῆς
and having-conversed-with him and having-feasted-with(-him) and of-the
ἁγιότητος αὐτοῦ πνευματικῶς ἐμφορηθείς· ἔνθα καὶ θαύματός
holiness his spiritually having-been-filled where also of-(a)-wonder
τινος κατὰ συγκυρίαν ἐπηκολούθησεν ἐνέργεια, μεῖζον τοῦ
some by chance followed (the)-working greater than-the
ἔργου τὸ πάρεργον ἐμπορευσαμένου τοῦ τότε τεθεραπευμένου.
work the by-product having-trafficked the then healed(-one)
Βασίλειός τις τοὔνομα, ἀνὴρ οὐ τῶν ἀνωνύμων καὶ
Basil (a)-certain by-the-name man not of-the nameless and
ἀφανῶν, ἀλλὰ καὶ λίαν περιωνύμων καὶ περιδόξων, τῷ
obscure but also very famous and glorious with-the
τοῦ μαγίστρου μεγίστῳ κατὰ κόσμον κλεϊζόμενος ἀξιώματι,
of-the magister greatest in (the)-world renowned rank
συνανελθὼν τῷ πατριάρχῃ τῷ τηνικαῦτα πρὸς τὸν
having-gone-up-with with-the patriarch the then to the
ὅσιον, ἐν τῷ κίονι συνέστιός τε καὶ ὁμοτράπεζος αὐτῷ
holy(-man) on the column table-companion both and messmate to-him
γεγονώς, ὡς μετὰ τὴν ἑστίασιν ἀπονίψασθαι τὰς χεῖρας
having-become when after the feasting to-wash the hands
ἐδέησεν ὁ μακαρίτης Λουκᾶς, προθύμως ὑπηρετήσατο πρὸς
needed the blessed Luke eagerly served for
ταύτην τὴν διακονίαν ὁ μάγιστρος οὗτος, ὃς καὶ τῇ
this the service the magister this who also with-the
τῶν πετεινῶν προσηγορίᾳ παρόμοιον τὴν προσωνυμίαν
of-the birds name similar the surname

ἐκέκτητο. Ὃς νεφρικαῖς ἀλγηδόσι κεκρατημένος καὶ ταύταις
had who by-kidney pains held and these
λίαν ἐπωδύνοις ἐπὶ χρόνοις τρισί, τῷ τοῦ ἀπονίμματος
very painful for years three with-the of-the washing-water
ἁγιάσματι πρὸς θεραπείαν πιστῶς ἀπεχρήσατο· ἀλειψάμενος
sanctification for healing faithfully used having-anointed
γὰρ ἐξ αὐτοῦ τὰ περὶ τοὺς νεφροὺς πεπονηκότα μέρη,
for from it the about the kidneys suffering parts
παραχρῆμα τῆς τῶν πόνων ὀδύνης ἀπηλλάγη, τὸν
at-once from-the of-the pains anguish was-freed the
ὑπόλοιπον ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἀμέτοχος
remaining all of-the life his time without-share
τῆς τοιαύτης διαμείνας κακώσεως. Καὶ ταῦτα μέν,
of-the such having-remained affliction and these-things indeed
τοιαῦτα καὶ τηλικαῦτα τῷ μεγέθει τυγχάνοντα, μικροῖς
such and so-great in-the greatness being in-small
καὶ οὐτιδανοῖς λογίοις ἐπὶ τοσοῦτον εἰρήσθω. Ὁ δέ
and worthless words for so-much let-them-be-told what but
με μικροῦ διέλαθεν παρελθόν, ἐν μέσῳ κείμενον
me almost escaped having-passed-by in (the)-middle lying
τῶν ἤδη ῥηθέντων τε καὶ τῶν αὖθις ῥηθήσεσθαι
of-the(-things) already told both and of-the(-ones) again to-be-told
μελλόντων, ἀξιοθαυμαστότερον τεράστιον, τοῦτο τὰ νῦν
about-to(-be) more-admirable prodigy this the(-things) now
ἐπαναλαβὼν τῷ λόγῳ συνελὼν διηγήσομαι. Καί μοι τὴν
having-taken-up in-the word summarily I-will-relate and to-me the
ἀκοὴν καὶ τὴν διάνοιαν, παρακαλῶ, προθύμως συντείνατε.
hearing and the mind I-beseech eagerly strain
Σέργιός τις τοὔνομα, τῇ θέσει μὲν εὐνοῦχος, τὴν 23
Sergius (a)-certain by-the-name by-the condition indeed (a)-eunuch (by)-the
τάξιν δὲ κληρικὸς ἐν τοῖς τῆς μεγάλης κατειλεγμένος
rank but (a)-cleric among the of-the great enrolled

ἐκκλησίας ὑποδιακόνοις, ἐκ χρόνων ἱκανῶν τὴν πρὸς
church subdeacons from years many the toward
τὸν ὅσιον πίστιν κεκτημένος συχνότερόν τε πρὸς
the holy(-man) faith having-acquired rather-often and to
αὐτὸν πορευόμενος καὶ πεῖραν τῆς τούτου δραστικωτάτης
him going and experience of-the his most-effective
δυνάμεως ἐν διαφόροις θαύμασιν εἰληφώς, οὗτος ἐξ
power in various wonders having-received this(-man) from
ἀπροσεξίας καὶ ἀβουλίας μειρακιώδους τε παιδιᾶς τοιούτῳ
heedlessness and thoughtlessness boyish and play into-such
θανατηφόρῳ περιπεπτώκει παραπτώματι· μετὰ γὰρ μίμου
deadly had-fallen fault with for (a)-mime
τινός, κωμαστοῦ τε καὶ γελοιαστοῦ τυγχάνοντος, εἰς λόγους
certain (a)-reveler both and jester being into words
ἀστείους, οἷα φιλεῖ πολλάκις ἐν πολλοῖς, ἐληλυθώς, ὡς ἐκ
witty as is-wont often among many having-come as from
συντροφίας δῆθεν καὶ συναναστροφῆς οὐ καλῆς συνήθειαν
companionship forsooth and association not good intimacy
ἐσχηκὼς καὶ γνωριμότητα πρὸς αὐτόν. Ὃς ἀπὸ τῶν
having-had and acquaintance with him who from the
ἀστείων ῥημάτων ἐκείνων τῶν ἀλογίας μεμεστωμένων,
witty words those the(-words) with-folly filled
οἷα συμβαίνειν εἴωθεν, εἰς λοιδορίας ἀλογωτέρους
as to-happen is-accustomed into revilings more-irrational
τραπεὶς καὶ σκώμματα, ἀπὸ δὲ τῶν λοιδοριῶν καὶ
having-turned and jests from and the revilings and
σκωμμάτων εἰς ὕβρεις καὶ ἀτιμίας, ἀπὸ δὲ τῶν ὕβρεων
jests to insults and dishonors from and the insults
καὶ κατηγοριῶν ἀπομανεὶς ἐκεῖνος χειρῶν ἄρξας
and accusations having-gone-mad that(-man) of-hands having-begun
ἀδίκων, ὡς καὶ μέθῃ βεβακχευμένος οἰνοφλυγίας, εἰς
unjust as also with-drunkenness intoxicated of-tippling in

μάστιγας κατέληξε καὶ πληγάς· ἐν ἱπποστασίῳ γὰρ τοῦτον
lashes ended and blows in (a)-stable for him
μονώτατον κατειληφὼς περὶ μεσημβρινὴν ὥραν θέρους
all-alone having-caught at (the)-noon hour of-summer
βαθεῖαν, τῶν ἄλλων πάντων ὕπνῳ βαθεῖ κατεχομένων, ἐπὶ
deep the others all by-sleep deep being-held to
τοσοῦτον ἔπαισε τὸν ἄνθρωπον ἀπηνῶς, πρηνῆ καταβαλὼν
so-much struck the man cruelly prone having-thrown-down
ἐπ᾽ ἐδάφους τήν τε κεφαλὴν αὐτοῦ πρὸς ταῖς σανίσι τῶν
shivering and fever seized grievously the wretched(-one)
πολλά τε πρὸς πολλοὺς ἰατροὺς προσδραμοῦσά τε
much and to many physicians having-run both
καὶ προσαναλώσασα, παρ' οὐδενὸς παρηγορίαν τινὰ τοῦ
and having-spent-besides from no-one consolation any of-the
πάθους οὐδὲ μίαν οὐδαμῶς ἠδυνήθην προσπορίσασθαι
suffering even one in-any-way I-was-able to-procure
καὶ νῦν πίστει προσέδραμον θερμῇ, τῆς παρὰ τοῦ
and now with-faith I-have-run warm of-the from —
Θεοῦ βοηθείας διὰ τῆς σῆς ἐπικουρίας προσδεομένη
God help through the your aid needing
καὶ διὰ σοῦ ἐπιτυχεῖν σωτηρίας ἐλπίζουσα.» Ταύτην
and through you to-obtain salvation hoping her
ὁ συμπαθέστατος οὗτος κατοικτειρήσας πατὴρ ταῖς
the most-sympathetic this having-pitied father with-the
προσηκούσαις εὐχαῖς τε χρησάμενος καὶ τῆς εὐλογίας τοῦ
fitting prayers both having-used and of-the blessing of-the
συνήθους ἄρτου μεταδοὺς καὶ φαγεῖν προτρεψάμενος
customary bread having-given-a-share and to-eat having-urged(-her)
μετὰ θάρσους ἐξέπεμψεν οἴκαδε· ἥτις μετ' ὀλίγας
with courage sent-off home who after few

ὑπέστρεψεν ἡμέρας, τὴν παντελῆ ταύτης εὐρωστίαν καὶ
returned days the complete her health and
τοῦ πάθους ἀπαλλαγὴν ἀπαγγέλλουσα εὐχαριστοῦσά τε
of-the suffering release reporting giving-thanks and
πάμπολλα διὰ πλειόνων λόγων τῷ σωτῆρι Θεῷ καὶ
very-much through many words to-the savior God and
τῷ αὐτοῦ γνησίῳ θεράποντι.
to-the his genuine attendant

33 Ἄλλη πάλιν ἐν ἄλλῳ καιρῷ χήρα τις γυνή, τὴν
another again at another time (a)-widow certain woman the
κατοίκησιν ποιουμένη πέραν τῆς θαλάσσης εὐώνυμα τῆς
dwelling making across the sea left of-the
τοῦ Βυζαντίου καλουμένης Ἀκροπόλεως πρὸς τῇ Θρᾳκῶν
— of-Byzantium called Acropolis toward the of-(the)-Thracians
χώρᾳ, τῇ τῶν πονηρῶν πνευμάτων ἀπάτῃ περιπεσοῦσα
land into-the of-the evil spirits deceit having-fallen-into
καὶ πλάνῃ, κατακυριευθεῖσά τε σφοδρῶς ὑπ᾽ αὐτῶν, ἐπὶ
and error overmastered and violently by them for
χρόνον ὀκταμηνιαῖον οὐ συνεχωρεῖτο τὸ παράπαν οὔτε
time eight-month not was-allowed at all either
τῷ συνήθει τύπῳ τοῦ τιμίου σφραγίσασθαι σταυροῦ
with-the customary sign of-the precious to-seal-herself cross
οὔτε μὴν εἰς ναὸν θεῖον εἰσελεύσεσθαι τὸ σύνολον
or indeed into (a)-temple divine to-enter at all
οὔτ᾽ ἔτι ἄλλο τῶν χριστιανοῖς προσηκόντων σωτηρίων
or still another of-the to-Christians belonging saving
συμβόλων εἰπεῖν ἢ διαπράξασθαι δεδύνητο, ἀλλ᾽ εἰ καί
symbols to-say or to-do she-had-been-able but if even
ποτε τοιοῦτό τι ποιῆσαι ἐπεχείρησε, λιθασμοῖς ἀπηνέσι
ever such something to-do she-attempted with-stonings harsh
καὶ συχνοῖς ἐχρῶντο κατ᾽ αὐτῆς, μετὰ φοβήτρων ἐξαισίων
and frequent they-used against her with terrors extraordinary

καὶ κτύπων καὶ πολλῶν ἀπειλῶν ταύτην δειματοῦντες
and bangings and many threats her frightening
καὶ τῶν καθηκόντων ἀγαθῶν ἐθῶν ἀποτρέποντες.
and from-the fitting good customs turning(-her)-away
Αὕτη μόλις ποτὲ τὰ καθ' ἑαυτὴν ἀναλογίσασθαι
she scarcely at-last the(-things) concerning herself to-reckon
δυνηθεῖσα καὶ ὥσπερ ἐν συναισθήσει γενομένη τῶν
having-been-able and as in awareness having-come of-the
ἐπηρτημένων αὐτῇ κακῶν, πρὸς τὸν κοινὸν προστάτην
hanging-over her evils to the common protector
τῶν πειραζομένων πάντων παραγίνεται, τὴν συμφορὰν
of-the tried all comes the misfortune
ἀφηγουμένη, τὴν βίαν ἀναγγέλλουσα καὶ τὴν οἰκείαν
relating the violence announcing and the own
ἀποδυρομένη ἀπώλειαν. Ὁ δὲ πρὸς συμπάθειαν θερμὸς
lamenting ruin the but toward sympathy warm
καὶ πρὸς οἶκτον ἑτοιμότατος οὗτος πατὴρ χριστομιμήτῳ
and toward pity most-ready this father with-Christ-imitating
χρηστότητι χρώμενος πρῶτα μὲν ἐξαγορεῦσαι ταύτῃ
kindness using first indeed to-confess her
πάντα τὰ κρυφῇ πεπραγμένα προσέταξεν, ἐφ' ἑκάστῳ
all the(-things) secretly done ordered for each
τούτων φάρμακον ἐφαρμόζον τὸ διὰ μετανοίας
of-these (a)-remedy fitting the(-remedy) through repentance
καὶ νηστείας ὁρίσας καὶ δεδωκώς. Ἔπειτα τὸ ταῖς
and fasting having-determined and having-given then the in-the
χερσὶν αὐτοῦ κατεχόμενον ῥάκος εἰς ἐκμαγείου χρείαν
hands his held rag for wiping use
χρηματίζον, ἐπιδίδωσιν ἐντειλάμενος αὐτῇ κατὰ μέρος
serving he-hands-over having-commanded her by part
αὐτὸ κατατεμεῖν εἰς μικρὰ τμήματα σταυροειδῶς ταῖς
it to-cut-up into small pieces crosswise to-the

τε θύραις καὶ θυρίσι πάσαις τοῦ ταύτης οἰκήματος
both doors and windows all of-the her dwelling
καθηλῶσαι προσεπιλέγουσαν ἅμα τὸ τρισάγιον
to-nail adding at-the-same-time the thrice-holy
ὄνομα τῆς θεαρχικῆς κυριότητος, Πατρὸς καὶ Υἱοῦ καὶ
name of-the godly lordship of-Father and Son and
ἁγίου Πνεύματος. Καὶ τούτων οὕτω γεγενημένων οὔπω
holy Spirit and these so having-happened not-yet
παρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμὸς καὶ τὰ στασιώδη καὶ
passed of-days seven (the)-number and the rebellious and
πολέμια πνεύματα φυγαδευθέντα τέλειον ἀπέστησαν ἀπ᾽
hostile spirits put-to-flight completely withdrew from
αὐτῆς τε καὶ τοῦ ταύτης οἰκήματος, μηκέτι τολμήσαντα
her both and of-the her dwelling no-longer having-dared
τοῦ λοιποῦ προσεγγίσαι τῷ τόπῳ.
for-the rest to-approach the place

WOMEN, A CHILD, AND LUKE'S DEATH

Luke's blessed bread and water delivered an illustris's wife after twenty-two days of labor and healed the sick Anna. He told a couple their child was alive when they thought it dead, foretold the death of a paralyzed boy, and healed George's scrofula. He died past his hundredth year, on the anniversary of his ascent and on Daniel's feast, after forty-four years on the column. His body was carried to the monastery of Bassianus, which he had restored.

34 Γυναιξὶ δὲ γυναῖκας ἐπισυνάπτειν κἂν τοῖς διηγήμασι καὶ
to-women and women to-join both in-the narratives and
τοῖς θαύμασι πρεπωδέστατον, οἶμαι, καὶ ἁρμοδιώτατον·
in-the wonders most-fitting I-think and most-suitable
ἐπισυναπτέσθωσαν τοίνυν τῇ ἐκ τῆς ἀγροικίας
let-them-be-joined therefore to-the(-one) from the countryside

ἤδη μνημονευθείσῃ αἱ πολίτιδες τυγχάνουσαι, κἂν ἐπὶ
already mentioned the city-dwellers being even-if at
τούτῳ μέγα φρονῆσαι θελήσωσιν. Ἡ γὰρ θεία χάρις τῶν
this great to-think they-should-wish the for divine grace of-the
ἰαμάτων ἀφιλοτίμως ἐπίσης πάσαις πάσης προσπαθείας
healings ungrudgingly equally to-all all partiality
δίχα διανενέμηται καὶ δεδώρηται· προταττέσθω τοιγαροῦν,
without has-been-distributed and has-been-given let-her-be-set-first therefore
εἰ δοκεῖ, τῇ διηγήσει ἡ καὶ τῷ κοσμικῷ
if it-seems(-good) in-the narrative the(-one) also in-the worldly
δοκοῦσα προύχειν ἀξιώματι. Ἰλλουστρίου γάρ τινος
seeming to-excel rank of-an-illustris for (a)-certain
Ἰωάννου τοὔνομα γαμετή, ὃν καὶ Ἰούβην καταχρηστικῶς
John by-the-name (the)-wife whom also Iubes improperly
προσαγορεύουσιν, ἐπὶ δυσὶν ἡμέραις καὶ εἴκοσιν ὠδῖσι
they-call for two days and twenty with-pains
δειναῖς ἐν καιρῷ τοῦ τοκετοῦ χαλεπῶς σπαραττομένη καὶ
terrible in time of-the childbirth grievously being-torn and
τὸν θάνατον ἐξ αὐτῆς ἡμέραν ἐξ ἡμέρας, ἤ, μᾶλλον
the death from very(-then) day by day or rather
τομώτερον εἰπεῖν δέον, ὥραν ἐξ ὥρας καὶ στιγμὴν ἐκ
more-sharply to-say (it-is)-needful hour by hour and moment by
στιγμῆς παραδοκοῦσα, πίστει φερομένη πολλῇ, ὡς πρὸ
moment expecting by-faith carried much as before
πολλοῦ διὰ πείρας ἔχουσα πλείστης τῆς ἐνεργούσης ἐν τῷ
long through experience having very-much of-the working in the
θαυμασίῳ πατρὶ Λουκᾷ τὴν χάριν δυνάμεως, πέμπει πρὸς
wonderful father Luke the grace power she-sends to
αὐτὸν τὸ τάχος ἐξαιτουμένη βοήθειαν ἐν καιρῷ περιστάσεως.
him the speed asking help in time of-crisis
Ὁ δὲ τοῦ συνήθους ἄρτου καὶ ὕδατος εὐλογίαν ἁγιάσας
he and of-the customary bread and water (the)-blessing having-sanctified

ἐξαπέστειλε πρὸς αὐτήν. Ἡ δὲ τούτων ἀμφοτέρων μετ'
sent to her she and of-these both with
εὐλαβείας μεταλαβοῦσα, παρευθὺ τῶν θανατηφόρων
reverence having-partaken at-once from-the deadly
ἐκείνων ὠδίνων ἐπαύσατο, τοῦ βρέφους εὐχερῶς καὶ
those pains ceased the babe easily and
ἀνωδύνως ἀποτεχθέντος. Ἥτις τὴν πρὸς θάνατον λύπην
painlessly having-been-delivered who the toward death grief
θᾶττον ἀποθεμένη, χαρὰν μετ' εὐφροσύνης ἀνέλαβεν,
quickly having-laid-aside joy with gladness took-up
εὐχαριστηρίοις φωναῖς ἀνευφημοῦσα τὸν φυλάσσοντα
with-thankful voices praising the guarding
τὰ νήπια Κύριον μητέρα τε ἐπὶ τέκνῳ εὐφραινομένην
the infants Lord (a)-mother and over (a)-child rejoicing
δεικνύντα, τὸν τούτου γνήσιον θεράποντα μακαρίζουσαν,
making the his genuine attendant blessing
δι' οὗ τῆς σωτηρίας παρ' ἐλπίδα πᾶσαν παραδόξως
through whom the salvation beyond hope all marvelously
ἐπέτυχεν. Συνταττέσθω δὴ μετὰ ταύτην ἐχόμενα τὴν
she-obtained let-her-be-ranked indeed after this next the(-woman)
κοσμικῆς περιφανείας εὐμοιρήσασαν γυνή τις ἑτέρα
of-worldly distinction having-been-fortunate (a)-woman certain other
τοὔνομα Ἄννα, κοσμικοῦ μὲν ἀξιώματος ἄμοιρος, πίστεως
by-the-name Anna of-worldly indeed rank without-share of-faith
δὲ καὶ τῆς κατὰ ψυχὴν εὐκλείας οὐδὲν ἐλλείπουσα· ἥτις
but and of-the according-to soul glory nothing lacking who
τὴν κατοίκησιν μὲν πλησίον τῆς καλουμένης Πύλης Χαλκῆς
the dwelling indeed near the called Gate Bronze
ἐκέκτητο, νόσῳ δὲ βαρείᾳ κατασχεθεῖσα καὶ χρόνον ἐφ'
had by-disease and heavy held and (for)-time for
ἱκανὸν κατακειμένη, πρὸς τὸν κοινὸν θεραπευτὴν ἐκπέμπει
considerable lying to the common healer sends

πίστει κινουμένη θερμῇ τῶν προσηκόντων τινά, τὸ τῆς
by-faith moved warm of-the kinsfolk one the of-the
χρονίας ἀρρωστίας αὐτῆς πολυώδυνον καὶ δυσίατον δι᾽
chronic illness her very-painful and hard-to-heal through
αὐτοῦ δηλοποιοῦσα. Τὸν ἐκ συνηθείας τοίνυν ἐπευλογήσας
him making-known the from custom therefore having-blessed
ἄρτον ὡς εἴωθεν ἐξαποστέλλει πρὸς αὐτὴν ὁ θαυμάσιος.
bread as he-is-accustomed sends-off to her the wonderful(-man)
Ἡ δὲ λαβοῦσα σὺν εὐλαβείᾳ πολλῇ καὶ βεβρωκυῖα
she and having-taken(-it) with reverence much and having-eaten
μετὰ πίστεως ἀδιστάκτου, παραχρῆμα τῆς ἐπιθυμουμένης
with faith undoubting at-once of-the desired
θεραπείας ἀπέλαυσεν, τῆς κλίνης θᾶττον ἐξαναστᾶσα καὶ
healing enjoyed from-the bed quickly having-risen and
τῆς ἀσθενείας αὐτῆς τῆς χρονίας τέλεον ἐλευθερωθεῖσα.
from-the illness her the chronic completely freed
Ἥτις μηδὲν μελλήσασα πρὸς τὸν θεόληπτον θεραπευτὴν
who nothing having-delayed to the God-possessed healer
αὐτίκα παραγίνεται, τὴν χάριν κηρύττουσα, τὴν εὐεργεσίαν
at-once comes the grace proclaiming the benefaction
ἀναγγέλλουσα, τὴν εὐχαριστίαν αὐτῷ προσάγουσα καὶ τῷ
announcing the thanksgiving to-him bringing and —
Θεῷ δόξαν καὶ προσκύνησιν ἀναπέμπουσα. Τῶν τοιούτων
to-God glory and veneration sending-up of-the such
τοίνυν τεραστίων καὶ θαυμασίων καθ᾽ ἑκάστην, ὡς εἰπεῖν,
therefore prodigies and wonders on each(-day) so to-speak
τελουμένων παρὰ τῆς πάντα δυναμένης ἐνεργεῖν ἐν
being-accomplished by the all(-things) able to-work in
σημειοφόρῳ Θεοῦ θεράποντι χάριτος, τῆς φήμης ἠρέμα
(the)-sign-bearing of-God attendant grace the report quietly
διαθεούσης πανταχοῦ, πάντες συνέτρεχον μετὰ πίστεως
running-around everywhere all ran-together with faith

τὸ κατάλληλον ἕκαστος κομιζόμενος φάρμακον ψυχικῶν
the fitting each receiving remedy of-soul
ὁμοῦ καὶ σωματικῶν ὀδυνῶν καὶ κακώσεων. Μεθ' ὧν
at-once and bodily pains and afflictions with whom
καί τις ἀνὴρ τὴν κατοίκησιν ἔχων ἐν τοῖς μέρεσι τοῦ
also (a)-certain man the dwelling having in the parts of-the
καλουμένου Στενοῦ σὺν τῇ γαμετῇ αὐτοῦ παραγίνονται
called Strait with the wife his come
πρὸς τὸν περιβόητον ἐν θαύμασι Λουκᾶν, μετὰ μεγάλης
to the famous in wonders Luke with great
θλίψεως καὶ ὀδύνης ἀναγγέλλοντες τὴν ἐπελθοῦσαν αὐτοῖς
affliction and pain announcing the having-come-upon them
ἀφόρητον συμφοράν· ἔλεγον γὰρ ὅτι φησίν· «Ἀμφοτέρων
unbearable misfortune they-said for that he-says of-both
ἡμῶν μέσον ἔχοντες κείμενον τὸ βρέφος ἐπὶ τῆς κλίνης
us between having lying the infant on the bed
ἐν τῷ καθεύδειν, ἐξεγερθέντες τοῦ ὕπνου καὶ ἄπνουν
in the to-sleep having-been-roused from-the sleep and breathless
ἐφευρόντες αὐτό, δρομαῖοι πρὸς τὴν σὴν ἤλθομεν τὰ
having-found it running to the your we-came the
νῦν ὁσιότητα, λαβεῖν ἐντολὰς ἀναλογούσας ἐξαιτούμενοι
now holiness to-receive commands corresponding asking
τοῦ τοιούτου ἀπροόπτου παραπτώματος ἕνεκα.» Ὁ δὲ
the such unforeseen fault for-the-sake-of the and
συμπαθέστατος καὶ χριστομίμητος οὗτος πατήρ, συμπαθῶν
most-sympathetic and Christ-imitating this father sympathizing
ὡς εἰκὸς καὶ παραμυθούμενος τούτους ἐπὶ τῷ μεγέθει τῆς
as (is)-likely and consoling them at the greatness of-the
θλίψεως, δεξιώσασθαι μὲν προσέταξε τούτους καὶ δοθῆναι
affliction to-welcome indeed ordered them and to-be-given
φαγεῖν καὶ πιεῖν. Ἐν ὅσῳ δὲ τὰ τῆς εὐωχίας οὗτοι
to-eat and to-drink in while and the(-things) of-the feast these

μετελάμβανον, εἰς προσευχὴν ἐκεῖνος ἐκτενῆ μετὰ δακρύων
partook to prayer he earnest with tears
ἐτρέπετο, τὸν ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχοντα
turned the of-life and death the authority having
ἐξευμενιζόμενος Κύριον· παρ᾽ οὗ τὸ θαρρεῖν ἀσφαλῶς
propitiating (the)-Lord from whom the to-take-courage securely
λαβὼν πρὸς τὴν τῆς αἰτήσεως ἔκβασιν, χαριέντως αὐτοὺς
having-received for the of-the request outcome graciously them
προσκαλεσάμενος ἔφησε· «Πορεύεσθε δὴ μετὰ χαρᾶς
having-summoned said go indeed with joy
καὶ ἀγαλλιάσεως οἴκαδε μηδεμίαν ἀμφιβολίας ἢ θλίψεως
and exultation home no of-doubt or of-affliction
ἔχοντες ἔννοιαν· τὸ γὰρ παιδίον ὑμῶν οὐ τέθνηκεν, ἀλλὰ
having thought the for child your not has-died but
καθεύδει καὶ ζῇ.» Οἱ δὲ τῷ τοῦ ὁσίου λόγῳ πιστωθέντες
sleeps and lives they and by-the of-the holy(-man) word having-been-assured
καὶ πορευθέντες μετὰ σπουδῆς, εὗρον τὸ παιδίον ἑαυτῶν
and having-gone with haste found the child their
ζῶν καὶ φαιδρὸν καὶ ἀλλόμενον. Τῷ δὲ τοῦ θαύματος
living and bright and leaping by-the and of-the wonder
ὑπερόγκῳ καὶ παραδόξῳ καταπλαγέντες, μετ᾽ ἐκπλήξεως
enormity and marvelousness astounded with amazement
ἅμα καὶ χαρᾶς ὑπέστρεψαν ἐν ἀγαλλιάσει καρδίας, δόξαν
together and joy returned in exultation of-heart glory
καὶ μεγαλοπρέπειαν ἀναπέμποντες Θεῷ τῷ μεγάλα
and magnificence sending-up to-God the(-one) great
μόνῳ ποιοῦντι θαυμάσια διὰ προσευχῆς καὶ δεήσεως
alone doing wonders through prayer and supplication
τῶν γνησίων θεραπόντων αὐτοῦ. Ὥσπερ οὖν τούτοις τοῖς
of-the genuine attendants his as then to-these the
τὸν παῖδα τεθνεῶτα θρηνοῦσι γονεῦσιν ἐκ νεκρῶν ζῶντα
the boy dead lamenting parents from (the)-dead living

δι᾽ ἐντεύξεως ζωηφόρου χαρίζεται, οὕτως αὖθις ἑτέροις,
through intercession life-bearing he-grants so again to-others
οἷς τοῦτο λυσιτελήσειν ἠπίστατο, τὸν θάνατον τοῦ
to-whom this would-be-profitable he-knew the death of-the
παιδὸς προηγόρευσεν· περὶ ὧν προϊὼν ὁ λόγος δηλώσει.
boy he-foretold about whom proceeding the word will-show
35 Σισίνιος γάρ τις οἰκήτωρ τῆς περιωνύμου Χρυσοπόλεως
Sisinnius for (a)-certain inhabitant of-the famous Chrysopolis
σὺν τῇ ἑαυτοῦ γαμετῇ παραγίνονται πρὸς τὸν περιβόητον
with the his-own wife come to the famous
τοῦτον τὸν ἐν θαυματουργίαις ἐπίσημον Θεοῦ θεράποντα
this the in wonder-workings distinguished of-God attendant
Λουκᾶν, παιδίον ἔχοντες ἐπὶ τριετίαν ὅλην ἐν κλίνῃ
Luke (a)-child having for three-years whole in bed
βεβλημένον ἐν παρέσει σώματος ὁλοτελεῖ καὶ παντελεῖ μελῶν
lying in paralysis of-body complete and utter of-limbs
ἀκινησίᾳ. Περὶ τούτων δέησιν προσάγουσι δυσωποῦντες τὸν
immobility about these (a)-petition they-bring imploring the
ὅσιον, ὅπως παράκλησιν ἐκτενῆ ποιήσηται πρὸς Κύριον,
holy(-man) that (a)-supplication earnest he-make to (the)-Lord
ὡς ἂν ταχέως ἀπαλλαγείη τῆς παρούσης ἐπωδύνου
that — quickly it-might-be-freed from-the present painful
ζωῆς. Βάρος γὰρ ἅμα καὶ ὄνειδος προύκειτο
life (a)-burden for at-the-same-time and (a)-reproach was-set-before
τούτοις ὁ παῖς, βλεπόμενος ἐν τοσαύτῃ κακῶν περιφορᾷ,
them the boy seen in so-great of-evils circumstance
πρός τε θεραπείαν αὐτοῦ καὶ πρὸς ὑπηρεσίαν ὡσαύτως
for both care his and for service likewise
ἐξαπορήσασιν· πρός οὓς ἀπεκρίνατο τὸ πνευματοφόρον
to-(them)-being-at-a-loss to whom answered the Spirit-bearing
ἐκεῖνο στόμα, προαγορεῦον τὸ μέλλον ἐμφαντικώτατα·
that mouth foretelling the(-thing) to-come most-expressively

«Πορεύεσθε, φησίν, εὐθυμοῦντες, ἀφ᾽ ἑαυτῶν ἀθυμίας
go he-says being-of-good-cheer from yourselves of-despondency
ὁμίχλην ἐκτιναξάμενοι· καὶ γὰρ αὔριον <ὁ Κύριος> ὑμῶν
(the)-mist having-shaken-off and for tomorrow <the Lord> of-you
ἀμφοτέρων ἑκάστῳ προμηθούμενος τὸν μέντοι παῖδα
both for-each providing the indeed boy
προσλαμβανόμενος καὶ τῆς βιαίας ἀπαλλάττων ζωῆς,
taking-to(-himself) and from-the forced freeing life
ὑμᾶς δὲ τῆς ἐπ᾽ αὐτῷ λύπης καὶ δυσχεροῦς ὑπηρεσίας
you and from-the over him grief and difficult service
ἐλευθέρους καθιστῶν.» Ὅπερ παραδόξῳ τρόπῳ θᾶττον
free making which in-marvelous manner more-quickly
ἢ λόγος ἔργον ἐγένετο· τῇ ἐπιούσῃ γὰρ ἡμέρᾳ τῆς
than word deed became on-the following for day from-the
θανάτου χαλεπωτέρας ζωῆς ὁ παρειμένος παῖς ἀπηλλάγη
than-death more-grievous life the paralyzed boy was-freed
κατὰ τὴν πρόρρησιν τοῦ σημειοφόρου πατρός· οἱ δὲ
according-to the prediction of-the sign-bearing father the and
τούτου γεννήτορες τῆς ἐπ᾽ αὐτῷ μερίμνης ἅμα καὶ
his parents from-the over him care together and
θλίψεως καὶ τῆς ἐργώδους δουλείας ἠλευθερώθησαν.
affliction and from-the toilsome servitude were-freed
Ἐπειδὴ δὲ πᾶσι πάντα γίνεσθαι σπουδὴν τιθέμενος ὡς 36
since and to-all all(-things) to-become zeal making as
Χριστοῦ μιμητὴς κατὰ τὸν μέγαν ἀπόστολον, ἑκάστῳ
of-Christ (an)-imitator according-to the great apostle to-each
πρὸς τὰς αἰτήσεις ἀναλόγως καὶ καταλλήλως τὰς ἐκβάσεις
for the requests proportionately and correspondingly the outcomes
παρέχειν οὐ παρῃτεῖτο· οὐ γὰρ ἠβούλετό τινα λυπούμενον
to-provide not he-declined not for he-wished anyone grieving
ἀπελθεῖν ἀπ᾽ αὐτοῦ οὔτε μὴν κατησχυμμένον ἀποστραφῆναι
to-go-away from him nor indeed put-to-shame to-be-turned-back

καὶ ἄπρακτον· ἦν οὖν ἰδεῖν τοὺς ὄχλους ποταμηδὸν
and without-result it-was(-possible) then to-see the crowds like-a-river
πρὸς αὐτὸν ὁσημέραι συρρέοντας ὡς εἰς πηγὴν
to him daily streaming-together as to (a)-spring
ἀέναον βρύουσαν καὶ τὴν τοῦ δίψους ἑκάστου φλεγμονὴν
ever-flowing gushing and the of-the thirst of-each burning
ἀπωθούμενον. Ὁ λυπούμενος γὰρ εἰς χαρὰν μετεβάλλετο,
thrusting-away the(-one) grieving for into joy was-changed
ὁ ἀθυμῶν εἰς εὐθυμίαν μεθίστατο, ὁ πενθῶν
the(-one) despondent into cheer was-moved the(-one) mourning
παρεμυθεῖτο, ὁ ἀσθενῶν θεραπείας ἀπέλαυεν, ὁ ἐν
was-consoled the(-one) sick healing enjoyed the(-one) in
κινδύνοις τὴν ἐλευθερίαν ἐλάμβανε, ὁ ἐν ἀνάγκαις τὴν
dangers the freedom received the(-one) in necessities the
σωτηρίαν, ὁ ἐν πειρασμοῖς τὴν ἀπολύτρωσιν, ὁ ἐν
salvation the(-one) in temptations the redemption the(-one) in
ἁμαρτίαις τὴν μετάνοιαν, ὁ ἀδικούμενος τὴν ἐκδίκησιν,
sins the repentance the(-one) wronged the vengeance
ὁ ἐν περιστάσει τὴν προστασίαν, ὁ ἐν ἀπορίᾳ τὴν
the(-one) in crisis the protection the(-one) in want the
καλὴν εὐπορίαν, ὁ ἐν ἀρρωστίᾳ τὴν ταχεῖαν ἀνάρρωσιν.
good plenty the(-one) in illness the swift recovery

37 Μεθ' ὧν πρόσεισι τούτῳ Σέργιός τις τοὔνομα, τὸν
with whom approaches him Sergius (a)-certain by-the-name the
ἑαυτοῦ υἱὸν Γεώργιον ὀνομαζόμενον ἐπιφερόμενος, τὸ τῶν
his-own son George named bringing the of-the
λεγομένων χοιράδων πάθος δυσίατον ἐν τῷ τραχήλῳ λίαν
so-called scrofulas suffering hard-to-heal in the neck very
χαλεπῶς ἔχοντα. Τοῦτον ἰδὼν ὁ θαυμάσιος μετὰ δακρύων
grievously having him having-seen the wonderful(-man) with tears
ὑπὲρ τοῦ τέκνου τὴν ἱκετηρίαν προτεινόμενον, σπλαγχνισθεὶς
for the child the supplication putting-forth having-felt-compassion

ὁ ἐν πᾶσι πάντοτε συμπαθέστατος, τὰς ἱερὰς μὲν
the(-one) in all(-things) always most-sympathetic the holy indeed
χεῖρας ἀπονίπτεται παρευθύ, αὐτῷ δὲ τῷ πατρὶ τοῦ
hands washes at-once to-very and the father of-the
πάσχοντος τὸ τοιοῦτον ὕδωρ ἐπιδοθῆναι προτρέπεται· ὅπερ
sufferer the such water to-be-given urges which
ἐκεῖνος πίστει δεξάμενος καὶ τῷ τραχήλῳ τοῦ πάσχοντος
he in-faith having-received and on-the neck of-the suffering
τέκνου καταχεάμενος ἐπ᾽ ὀνόματι τῆς τρισαγίου θεαρχίας,
child having-poured in (the)-name of-the thrice-holy godhead
τῆς ἐπιθυμουμένης θεραπείας τοῦ παιδὸς συναπέλαυσεν, τοῦ
of-the desired healing of-the boy shared-in-the-enjoyment the
χαλεπωτάτου πάθους ἐκείνου παραχρῆμα φυγαδευθέντος.
most-grievous suffering that at-once having-been-put-to-flight
Καὶ ἦν ἰδεῖν τὸ δαυϊτικὸν μικρὸν ὑπαλλαττόμενον
and it-was(-possible) to-see the Davidic (a)-little altered
τότε μελῴδημα πληρούμενον ἐναργῶς, πατέρα ἐπὶ τέκνῳ
then song fulfilled clearly (a)-father over (a)-child
εὐφραινόμενον πορεύεσθαι πρὸς τὰ ἴδια ἐν ἀγαλλιάσει
rejoicing to-go to the own(-home) in exultation
ψυχῆς καὶ σώματος, δοξάζοντα καὶ μεγαλύνοντα Κύριον
of-soul and body glorifying and magnifying (the)-Lord
τὸν ποιοῦντα παράδοξα θαυμάσια διὰ τοῦ γνησίου
the(-one) doing marvelous wonders through the genuine
καὶ πιστοῦ θεράποντος αὐτοῦ.
and faithful attendant his
Ἐν τούτοις τοῖς μεγίστοις τερατουργήμασι καὶ 38
in these the greatest prodigies and
μεγαλοπρεπέσι κατορθώμασιν ἐπὶ πλείσταις διαπρέψας
magnificent achievements for very-many having-excelled
ἐτῶν περιόδοις καὶ διαλάμψας ὡς ἥλιος ἀειλαμπὴς τοῖς
of-years cycles and having-shone-forth as (the)-sun ever-shining with-the

πολυμερέσι χαρίσμασιν, ἤδη τὸν ἑκατοστὸν ὑπερβεβηκὼς
manifold gifts already the hundredth having-passed
ἐνιαυτὸν καὶ πρὸς γῆρας φθάσας βαθύτατον ὁ
year and to old-age having-reached deepest the
πάσης τιμῆς ὑπέρτερος καὶ παντὸς ἐπαίνου ἀνώτερος
than-all honor higher and than-every praise above
σημειοφόρος Λουκᾶς, τὸν πᾶσιν ἁγίοις καὶ δικαίοις
sign-bearer Luke the to-all holy and righteous
ἀνδράσιν καὶ ἰσαγγέλοις ὁσίοις ὀφειλόμενον τίμιον ὕπνον
men and angel-equal holy(-ones) owed precious sleep
ὁσίως ἀφύπνωσεν, πρὸς τὸν τῶν πατέρων δεσπόζοντα
holily fell-asleep to the of-the fathers ruling
Κύριον ἐν πνεύματι χαρμονικῷ προσχωρήσας, τρανότερόν
Lord in spirit joyful having-gone-over more-clearly
τε καὶ καθαρώτερον πρόσωπον πρὸς πρόσωπον αὐτῷ
both and more-purely face to face with-him
προσωμιληκώς, ὁ καὶ πρὸ τῆς τοῦ σώματος ἐκδημίας
having-conversed the(-one) also before the of-the body departure
τῇ ἀσαρκίᾳ, σχεδὸν εἰπεῖν, καὶ ἀϋλίᾳ ψυχῆς τε καὶ
by-the fleshlessness almost to-say and immateriality of-soul both and
νοὸς καθαρότητι τῷ μόνῳ καθαρῷ καθαρῶς προσανέχων
of-mind by-purity to-the only pure purely attending
καὶ συγγινόμενος· τὴν δὲ τῆς ἀειζώου κοιμήσεως αὐτοῦ
and associating the and of-the ever-living falling-asleep his
ἐπίσημον ἡμέραν μή τις ἁπλῶς ὑποπτευέτω συντυχικῇ
notable day let-not anyone simply suspect by-chance
τινι γεγονέναι κατὰ τοὺς λοιποὺς τῶν ἄλλων
some to-have-happened according-to the rest of-the other
ἀνθρώπων ἀκολουθίᾳ, ἀλλὰ θεϊκῆς οἰκονομίας ἔργον
men sequence but of-divine dispensation (a)-work
κατὰ συγκυρίαν τῆς ἄνωθεν προνοίας πραχθὲν τοῦθ'
according-to coincidence of-the from-above providence done this

ὑποληπτέον. Ἐν ᾗ γὰρ ἡμέρᾳ τὴν ἀνάβασιν ἐπὶ τὸ
must-be-supposed on which for day the ascent onto the
κέρας τοῦ κίονος ἐποιήσατο, ἐν αὐτῇ πάλιν ταύτῃ τὴν
horn of-the column he-made on very again this the
μετάβασιν ἐκ τούτου πρὸς οὐρανὸν καὶ τὰς ἐκεῖσε μονὰς
passage from this(-one) to heaven and the there dwellings
αἰωνίους ἐστείλατο μετὰ χρόνους ἐνιαυσιαίους τέσσαρας
eternal he-set-out-on after years annual four
πρὸς τεσσαράκοντα. Αὕτη δὲ ἦν ἡ λαμπρὰ μνημοσύνη
besides forty this and was the brilliant commemoration
τῆς ἱερᾶς τελετῆς Δανιὴλ τοῦ μεγάλου λαμπτῆρος, τῶν
of-the holy rite of-Daniel the great luminary of-the
ἐν στύλοις διαλαμψάντων πατέρων ὑπερλάμποντος ἔν τε
on pillars having-shone fathers outshining in both
πολιτείᾳ βίου καὶ θαυμάτων λαμπρότητι, κατὰ τὴν πρώτην
conduct of-life and of-wonders brilliance on the first
καὶ δεκάτην τοῦ δεκεμβρίου μηνὸς ἱερῶς τελουμένη καὶ
and tenth of-the December month holily performed and
σεβασμίως τιμωμένη. Ἔπρεπεν δ' ἄρα τοὺς ὁμοτρόπους
venerably honored it-was-fitting and then the like-mannered
καὶ ὁμοζήλους ἐν τοῖς τῶν ἱδρώτων ἀγῶσι γεγενημένους
and equally-zealous in the of-the sweats contests having-been
τοῖς τε κατορθώμασι καὶ θαύμασι παραπλησίως καὶ
the both by-achievements and wonders similarly and
καταλλήλως διαλάμψαντας τούτους καὶ τῇ μνημοσύνῃ
correspondingly having-shone-forth these also in-the commemoration
ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συναφθῆναι καὶ συνδοξασθῆναι
in one and the same day to-be-joined and to-be-glorified-together
καὶ μίαν ἀμφοτέρων πανήγυριν ἐπὶ γῆς ἐπιτελεῖσθαι παρὰ
and one of-both festival on earth to-be-celebrated by
πάντων πιστῶν καὶ πανηγυρίζεσθαι τῶν ἐν ἐπουρανίοις
all faithful and to-be-feasted the(-ones) in heavenly

ὄντως θαλάμοις συνημμένων ἀεὶ καὶ συνευφραινομένων
truly chambers joined always and rejoicing-together
εὐφροσύνην καὶ χαρὰν ἀκήρατόν τε καὶ ἀνεκλάλητον.
gladness and joy undefiled both and unspeakable
39 Τὸ δὲ σεβάσμιον καὶ καρτερικώτατον αὐτοῦ σῶμα, τὸ τῆς
the and venerable and most-steadfast his body the of-the
ἰσαγγέλου ψυχῆς ἐκείνης καὶ ἀδαμαντίνης ἐπάξιον σκήνωμα,
angel-equal soul that and adamantine worthy tabernacle
τό, μικροῦ δεῖν εἰπεῖν, ἄναιμόν τε καὶ ἄσαρκον,
the(-body) (a)-little lacking to-say bloodless both and fleshless
βασιλικαῖς τιμαῖς καὶ δημοσίαις δορυφορίαις τε καὶ προόδοις
with-imperial honors and public escorts both and processions
μετὰ πλήθους λαμπάδων καὶ μύρων πολυτελῶν λαμπρῶς
with (a)-multitude of-torches and perfumes costly brilliantly
καὶ σεβασμίως ἐν σορῷ κατατεθειμένον, πρὸς τὴν βασιλίδα
and venerably in (a)-coffin laid to the imperial(-city)
μετακομισθὲν ἐν τῇ τοῦ θεσπεσίου Βασιανοῦ κατετέθη
having-been-transferred in the of-the divine Bassianus was-laid
μονῇ πρὸς τῷ δεξιῷ μέρει τοῦ ἐκεῖσε ἀνεγηγερμένου
monastery at the right part of-the there raised
ναοῦ παλαιοῦ· ἥντινα μονὴν ἱεράν, ἀμεληθεῖσαν τῷ
temple old which monastery holy neglected by-the
πολλῷ χρόνῳ καὶ πρὸς τὸ μηκέτι μοναστήριον χρηματίζειν
long time and to the no-longer (a)-monastery to-be-called
σχεδὸν καταντήσασαν, ἀλλὰ κοσμικὸν γενέσθαι καταγώγιον
almost having-come but worldly to-become (a)-lodging
κινδυνεύουσαν, ὁ θεοφόρος οὗτος πατὴρ ἡμῶν Λουκᾶς
being-in-danger the God-bearing this father our Luke
παραλαβὼν πατριαρχικῇ προτροπῇ παντοίῳ τε τρόπῳ πρὸς
having-taken-over at-patriarchal urging in-every both way for
σύστασιν καὶ συγκρότησιν ἐπιμεληsάμενος, φροντιστήριον
establishment and organization having-taken-care (a)-school

αὖθις ὡς τὸ πρότερον ψυχῶν ἀπειργάσατο, νέος κτήτωρ
again as the former(-time) of-souls he-made new founder
οὐχ ἧττον τοῦ παλαιοῦ ἀναφανεὶς ἐν αὐτῇ προμηθέστατα
not less than-the old having-appeared in it most-providently
καὶ τοὺς τοῦ σεβασμίου πόνους Βασιανοῦ μὴ ἐάσας
and the of-the venerable labors Bassianus not having-let
εἰς τέλος ἀπολέσθαι καὶ λήθῃ παντελεῖ παραδοθῆναι,
to (the)-end to-perish and to-oblivion complete to-be-given-over
ἀλλὰ προσθεὶς καὶ τοῦτο τὸ μέγιστον κατόρθωμα τοῖς
but having-added also this the greatest achievement to-the
λοιποῖς πολλοῖς καὶ λαμπροῖς αὐτοῦ πλεονεκτήμασί τε
other many and brilliant his advantages both
καὶ προτερήμασιν, εἰς δόξαν μὲν Θεοῦ, ψυχῶν δὲ
and excellences for glory indeed of-God of-souls and
σωτηρίαν καὶ μνήμην ἀξιέραστον τῆς ἀξιομνημονεύτου
salvation and memory lovely of-the memorable
αὐτοῦ πολιτείας καὶ ἀξιεπαίνου τῷ ὄντι μακαριότητος.
his conduct and praiseworthy in-the reality blessedness

A VISION, A CROSSING, AND THE AUTHOR'S FAREWELL

Shortly before Luke's death the physician Stephen saw his soul as a white dove rise to heaven. On the day he died the author, crossing to his funeral, was nearly drowned in a storm and was saved through Luke's prayers, and venerated his body with the monks. The author offers his work to Luke and asks him to keep interceding for the flock he left.

Ἄξιον δὲ πρὸς τοῖς εἰρημένοις προσθεῖναι καὶ τοῦτο τὸ 40
worthy and besides the(-things) said to-add also this the
κατ᾽ ὄναρ ἀναφανὲν ξένον ὅραμα, μᾶλλον δὲ κατά τινα
in dream appeared strange vision rather and by some

θείαν ἐκκαλυφθὲν ἀποκάλυψιν τότε πρὸ βραχέος πάνυ
divine unveiled revelation then before short very
καιροῦ περὶ τῆς τοῦ θεσπεσίου πατρὸς ἡμῶν κοιμήσεως, ἣν
time about the of-the divine father our falling-asleep which
δὴ κἀκεῖνος ἀριδήλως τοῖς παροῦσι προηγόρευσεν· ὅπερ
indeed he-too clearly to-those present foretold which
κατεθεάθη φοβερῶς ἀνδρί τινι σωφροσύνῃ σὺν ἐπιεικείᾳ
was-beheld fearfully by-(a)-man certain in-self-control with fairness
συζῶντι φόβῳ τε θείῳ ψυχὴν στοιχειουμένῳ, Στεφάνῳ
living by-fear and divine (in)-soul instructed Stephen
μὲν προσαγορευομένῳ, ἰατρικῆς δὲ πεπειραμένῳ τέχνης,
indeed called of-medical but experienced art
πλησιάζουσάν τε τὴν κατοίκησιν τῇ μονῇ κεκτημένῳ· καὶ
near and the dwelling to-the monastery having and
γὰρ οὗτος τὴν ἀλήθειαν ὅρκῳ προσβεβαιούμενος, ἀωρὶ
for he the truth with-(an)-oath confirming untimely
τῶν νυκτῶν, ὡς ἔλεγε, γεγενημένος ἐν ἐκστάσει καθάπερ
of-the nights as he-said having-been in ecstasy as
περιστερὰν ἑωρακέναι λευκὴν τὴν καθαρωτάτην ψυχὴν τοῦ
(a)-dove to-have-seen white the most-pure soul of-the
θεοφόρου πατρὸς ἡμῶν Λουκᾶ· ἥτις ὡς ἐξ οὐρανίου μὲν
God-bearing father our Luke which as from heavenly indeed
πρότερον ὕψους ἐδόκει κατενηνέχθαι πρὸς γῆν, ὑπεράνω
first height seemed to-have-been-brought-down to earth above
δὲ τῆς ᾠκοδομημένης ἐκκλησίας ἐν τῇ μονῇ καταπτᾶσαν
and the built church in the monastery having-flown-down
καταπαῦσαι καὶ τὸν τόπον ἅπαντα φέγγει φωτίσαι,
to-rest and the place all with-radiance to-illuminate
εἶθ' οὕτως ἀεροβατοῦσαν τοῖς ποσὶ πρὸς οὐρανὸν αὖθις
then so walking-on-air with-the feet to heaven again
τὴν πορείαν ποιησαμένην, ἀλλ' οὐχὶ ταῖς πτέρυξι ταύτῃ
the journey having-made but not with-the wings this

χρωμένην· καὶ μέχρι τοῦ ὕψους φωτοφανῶς φθάσασαν,
using and up-to the height luminously having-reached
διανοιγῆναι παρευθὺ τὸ στερέωμα, λαμπροτέρᾳ φωτὸς αἴγλῃ
to-be-opened at-once the firmament with-brighter of-light gleam
περιαστραπτόμενον, καὶ ταύτην ἔνδον καθυποδέξασθαι·
lit-around and her inside to-receive
καὶ αὖθις τὰς οὐρανίους πύλας συγκλεισμῷ παραδόξῳ
and again the heavenly gates with-closing marvelous
ἀσφαλισθῆναι καὶ ἀποκαταστῆναι, καθὰ καὶ πρότερον. Καὶ
to-be-secured and to-be-restored as also before and
ταῦτα μὲν τὰ πρὸ τῆς ἱερᾶς ἐκδημίας τοῦ πανιέρου Θεοῦ
these-things indeed the before the holy departure of-the all-holy of-God
θεράποντος ὡς ἀληθῶς παράδοξα θεάματα, πάντα νοῦν,
attendant as truly marvelous sights every mind
ὡς εἰκός, καταπλήττοντα κατὰ πολύ τε τὸ πιστὸν τῆς
as (is)-likely astounding by much both the trustworthiness of-the
τούτου μετὰ παρρησίας πολλῆς ἐκδημίας πρὸς Κύριον
his with boldness great departure to (the)-Lord
τοῖς πιστοῖς ἀναντιρρήτως παραδηλοῦντα.
to-the faithful indisputably indicating
Τὸ δὲ κατ᾽ αὐτὴν τὴν ἡμέραν τῆς ἐκείνου μακαρίας 41
the and on very the day of-the his blessed
μεταστάσεως περὶ ἡμᾶς τελεσθὲν τεράστιον πῶς ἂν
departure about us accomplished prodigy how —
παρασιωπήσαιμι, πολλῆς γέμον ἐκπλήξεως; πῶς δ᾽ ἂν καὶ
could-I-pass-over-in-silence of-much full amazement how and — also
δυναίμην ἀξίως ἐκδιηγήσασθαι νικώμενος τῷ μεγαλείῳ
could-I worthily to-relate being-overcome by-the greatness
τοῦ θαύματος; Πέμπτη τῶν ἡμερῶν τῆς ἑβδομάδος παρῆν,
of-the wonder (the)-fifth of-the days of-the week was-present
οἴκοι δέ με καθήμενον τότε τῆς περὶ αὐτοῦ μεταστάσεως
at-home and me sitting then of-the about him departure

ἐξαίφνης ἡ ἀγγελία καταλαβοῦσα καὶ πολλῆς ἀθυμίας,
suddenly the message having-reached and with-much despondency
ὡς εἰκός, ἐμπλήσασα σφόδρα, κατήπειγε κατὰ τάχος ἐπ᾽
as (is)-likely having-filled greatly urged with speed to
αὐτοῦ τοῦ τόπου διαπεράσαντα πρὸς τὴν προσκύνησιν
very the place having-crossed for the veneration
καὶ τὸν ἀσπασμὸν καὶ τὴν ἀποβλύζουσαν εὐλογίαν τοῦ
and the embrace and the gushing-forth blessing of-the
θαυματοβρύτου σκήνους ἐκείνου γενέσθαι τῆς τε πατρικῆς
wonder-flowing tent that to-be from-the and paternal
κηδείας μηδαμῶς ἀπολειφθῆναι καὶ τοσαύτην ζημίαν
funeral in-no-way to-be-left-out and so-great (a)-loss
ἀβουλήτως καὶ ῥᾳθύμως ἐφ᾽ ἑαυτὸν ἐπισπάσασθαι. Ὡς εἶχον
involuntarily and through-sloth upon myself to-draw as I-had
οὖν τάχους μετὰ σπουδῆς πολλῆς δρόμῳ τὴν θάλασσαν
then of-speed with zeal great at-(a)-run the sea
κατέλαβον· ἣν ἐφεῦρον σφόδρα σφοδρῶς ἀγριουμένην
I-reached which I-found very violently raging
σάλῳ μεγάλῳ κυμάτων καὶ κλύδωνι αὐτῇ τε μόνῃ τῇ θέᾳ
with-tossing great of-waves and with-surge by-very both alone the sight
φόβον ἐμποιοῦσαν καὶ τρόμον τοῖς βλέπουσιν, μήτιγε
fear producing and trembling to-those seeing not-to-mention
πρὸς τὸ πλεῦσαι προσιτὴν κἂν ὁπωσοῦν δυναμένην
for the to-sail accessible even-if in-any-way able
γενήσεσθαι· πλὴν ἅπαξ ἐγὼ τῇ τοῦ πόθου πληρώσει
to-become but once I to-the of-the longing fulfillment
προσκείμενος ὅλος τῇ τε προθύμῳ τῆς σπουδῆς διαπύρῳ
devoted whole by-the and eager of-the zeal burning
προθέσει κατεπειγόμενος, ῥιψοκινδύνως ἐμαυτὸν ἅμα καὶ
purpose being-urged recklessly myself together and
τολμηρῶς τῷ ἐγχειρήματι προσεπιδίδωμι πλοιάριόν τε
boldly to-the undertaking give-over (a)-boat and

παραχρῆμα μισθωσάμενος καὶ πολλαπλοῦν τὸν μισθὸν τοῖς
at-once having-hired and many-fold the wage to-the
<ναύταις δοὺς οὕ>τω μόλις καταπειθεῖς τούτους ἑλεῖν
<sailors having-given so> scarcely persuaded them to-win
δυνηθεὶς τῆς φρικώδους ἐκείνης θαλαττίας ἀγριότητος
having-been-able the dreadful that marine savagery
κατετόλμησα, τῆς ζωῆς προφανῶς ἀφειδήσας καὶ
I-dared the life plainly having-been-unsparing-of and
στήσας ἐν οὕτω χαλεπωτάτῳ κλύδωνι κατὰ τὸν θαυμάσιον
having-set in so most-grievous surge like the wonderful
Ἀμβακοὺμ ἐν θαλάσσῃ τὸ ὅρμημα. Ἀπάραντες οὖν ἀπὸ τῆς
Habakkuk on (the)-sea the onrush having-put-off then from the
καλουμένης Ἀκροπόλεως πρὸς τὴν Εὐτροπίου λεγομένην
called Acropolis to the of-Eutropius called
μονήν, ἤδη διαπερᾶν ἀπηρξάμεθα, πολλαῖς μὲν κυμάτων
monastery already to-cross we-began by-many indeed of-waves
ἀγρίων ἐπαναστάσεσι, πλείσταις δὲ χαλεπῶν ἀνέμων
savage risings by-very-many and of-grievous winds
ἐναντιώσεσι περιστατούμενοι· κατὰ δὲ τὸ μεσαίτατον τῆς
contrarieties beset at and the very-middle of-the
διαβάσεως τοῦ Πόντου καταλαβόντες καὶ σὺν ἀνέμῳ νότῳ
crossing — of-Pontus having-reached and with wind south
βιαίῳ κλύδωνί τε τῶν σφοδρῶς κορυφουμένων εἰς ὕψος
violent surge both of-the violently cresting to height
κυμάτων καὶ τῇ σφοδροτάτῃ συρροίᾳ τῶν ἐπὶ τοῦ τόπου
waves and by-the most-violent confluence of-the at the place
ῥευμάτων περιπεσόντες, τότε δὴ τῷ βυθῷ καταποθῆναι
currents having-fallen-among then indeed by-the depth to-be-swallowed
αὐτάνδρῳ τῇ νηΐ δυσχερῶς ἐκινδυνεύομεν, ποτὲ μὲν
with-all-hands with-the ship grievously we-were-in-danger at-one-time indeed
πρὸς μετέωρον ὕψος τοῖς κορυφουμένοις κύμασιν ὡς
to aloft height by-the cresting waves as

εἰς οὐρανὸν ἀναφερόμενοι, ποτὲ δὲ πρὸς αὐτῆς τῆς
to heaven being-carried-up at-another and to very the
ἀβύσσου τοὺς πυθμένας ὑπορροφούμενοι τῇ σφοδρότητι
abyss the bottoms being-sucked-under by-the violence
τῆς καταιγίδος καὶ πρὸς ἅδην καταφερόμενοι. Ἀπειρηκότες
of-the hurricane and to Hades being-borne-down having-given-up
τοίνυν πάσης τῆς ἐκ περινοίας πρὸς σωτηρίαν ἐλπίδος πρὸς
therefore all the from contrivance for salvation hope to
μόνην τὴν ἄνωθεν βοήθειαν ὅλους ἑαυτοὺς ἐπερρίψαμεν.
only the from-above help whole ourselves we-cast
Καὶ δὴ μεσίτης τῆς τοιαύτης πρὸς Θεὸν περιστατικῆς
and indeed (as)-mediator of-the such toward God critical
ἱκετηρίας αὐτὸς ὁ θαυμάσιος οὗτος καὶ θεοφόρος Λουκᾶς
supplication he-himself the wonderful this and God-bearing Luke
παραλαμβάνεται, παρ᾽ οὗ παρ᾽ ἐλπίδα πᾶσαν θᾶττον ἢ
is-taken by whom beyond hope all more-quickly than
λόγος ὑπὲρ λόγον ἐρρύσθημεν· ἅμα γὰρ τῇ ἐπικλήσει
word beyond word we-were-rescued as-soon-as for at-the invocation
καὶ παρακλήσει τῆς ἡμετέρας κατωδύνου κραυγῆς
and entreaty of-the our anguished cry
ἐπακούσας, ταχεῖαν αὐτὸς ὅτι μάλιστα τὴν ἐπικουρίαν
having-listened swift he as much-as-possible the help
ἡμῖν ἐπρυτανεύσατο θείαις ἐντεύξεσιν· τὸ γὰρ πλοιάριον
for-us procured by-divine intercessions the for boat
νεύματι θείῳ καὶ κρείττονι κυβερνήσει τὰς τῶν ἀνέμων καὶ
by-nod divine and stronger steering the of-the winds and
τῶν κυμάτων ἐμβολὰς βιαίας ὑπεκδραμὸν παραχρῆμα
of-the waves onsets violent having-run-out-from at-once
τῇ γῇ πρὸς ἣν ὑπήγομεν ἤγγισε καὶ πρὸς ὅρμον
to-the land toward which we-were-heading drew-near and to (a)-harbor
τινὰ χειροποίητον ἐκ μεγάλων κατεσκευασμένον πετρῶν
certain hand-made from great built rocks

εὐθυβόλως κατήχθημεν καὶ τῆς παραδόξου σωτηρίας ὑπὲρ
straight we-put-in and of-the marvelous salvation beyond
πᾶσαν προσδοκίαν ἐτύχομεν. Περισωθέντες τοίνυν ἀπὸ τῆς
all expectation we-obtained having-been-saved therefore from the
περιστατικῆς ἐκείνης ἀνάγκης τοῦ ἀπαραιτήτου κινδύνου,
critical that necessity of-the inexorable danger
κατελάβομεν τὸ πανσέβαστον σκήνωμα τοῦ σημειοφόρου
we-reached the all-venerable tabernacle of-the sign-bearing
Θεοῦ θεράποντος Λουκᾶ κατ᾽ αὐτὴν ἔτι τὴν κεφαλίδα
of-God attendant Luke at very still the capital
τοῦ κίονος κατακείμενον ἐντίμως καὶ ταῖς ἁρμοζούσαις
of-the column lying honorably and with-the fitting
ὑμνῳδίαις τε καὶ μελῳδίαις ὑπὸ τῶν ἐπισυναχθέντων
hymnodies both and melodies by the gathered
μοναζόντων καὶ λοιπῶν ἀνδρῶν εὐλαβῶν εὐσεβῶς
monks and other men reverent piously
γεραιρόμενον, λαμπάσι τε πλείσταις λαμπαδουχούμενον
honored with-torches both very-many torch-lit
καὶ μύροις πολυειδέσιν, ὡς εἰκός, μυρωδούμενον· μεθ᾽
and with-perfumes various as (is)-likely perfumed with
ὧν καὶ ἡμεῖς τὸν ἡμέτερον ἑαυτῶν πόθον ἐφ᾽ ἱκανὸν ὡς
whom also we the our own longing for long as
δυνατὸν ἀφωσιωσάμεθα σὺν εὐλαβείᾳ καὶ φόβῳ πολλῷ,
possible satisfied with reverence and fear much
ταῖς προσηκούσαις προσκυνήσεσι καὶ ταῖς ποθειναῖς
with-the fitting venerations and with-the longed-for
περιπτύξεσιν τὴν ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν θαλαττίων
embraces the for the redemption from-the marine
κινδύνων εὐχαριστίαν αὐτῷ προσαγαγόντες καὶ τὴν ὑπὲρ
dangers thanksgiving to-him having-brought and the for
τῆς μελλούσης σωτηρίας ἱκετήριον δέησιν. Ἐν οἷς τὸ
the coming salvation supplicating prayer in which the

θαρρεῖν πιστῶς εἰληφότες καὶ τὰς αὐτοῦ πρὸς Κύριον
to-take-courage faithfully having-received and the his to (the)-Lord
εὐπροσδέκτους πρεσβείας εἰς ἐφόδιον κομισάμενοι, τὴν πρὸς
acceptable intercessions for provision having-gained the to
τὰ οἰκεῖα ἐπάνοδον ἐποιησάμεθα, νεαρὰν τὴν μνήμην
the own(-homes) return we-made fresh the memory
ἀεὶ κατέχοντες τῶν ἐκείνου κατορθωμάτων καὶ ποικίλων
always holding of-the his achievements and various
εὐεργετημάτων, ὧν εἰς ἡμᾶς συμπαθῶς ἔδρασεν ἔτι τε
benefactions which to us sympathetically be-did still both
περιὼν ἐν σαρκὶ καὶ μετὰ τὴν ἐνθένδε μετανάστευσιν.
surviving in flesh and after the from-here departure

42 Ταῦτά σοι παρ' ἡμῶν, ὦ πατέρων ἱερῶν ἀκρότης καὶ
these-things to-you from us oh of-fathers holy summit and
ὁσίων ἐκλεκτῶν ἀκροθίνιον, τῶν σῶν εὐτελῶν τέκνων,
of-holy(-ones) chosen first-fruits of-the your mean children
τὰ ψιλὰ ψελλίσματα τέκνων, εἰ καὶ μωμητῶν, ἀλλ' οὐκ
the bare stammerings of-children if even blameworthy but not
ἀλλοτρίων σοι, πρὸ πολλοῦ μὲν ἀνατεθειμένων, εἰσέτι
strangers to-you before much indeed dedicated still
δὲ καὶ νῦν σοι ἐγκαταλελειμμένων καὶ μέχρι τέλους
and also now to-you left and until (the)-end
ὁλοσχερῶς ἀνατεθησομένων καὶ τὰς τῆς σωτηρίας ἐλπίδας
wholly to-be-dedicated and the of-the salvation hopes
καὶ προσδοκίας μετὰ Θεὸν ἐν σοὶ προτεινομένων, μικρὰν
and expectations after God in you holding-forth (a)-small
ὑπόμνησιν καὶ διήγησιν ἀμυδρὰν τῶν σῶν πολλῶν ἱδρώτων
reminder and narration faint of-the your many sweats
καὶ μεγάλων κατορθωμάτων ἰσχνῶς ἐμφαίνοντα, ἀνάξια μὲν
and great achievements slenderly showing unworthy indeed
τῆς σῆς ἀμιμήτου πολιτείας καὶ ἀρετῆς, οὐ μὴν παντελῶς
of-the your inimitable conduct and virtue not indeed wholly

ἀπόβλητα, ἀλλ᾽ εἰ καὶ μηδὲν ἕτερον εἰς ὄνησιν δυνάμενα
to-be-thrown-away but if even nothing else for profit able
συνεισενεγκεῖν, ἀλλ᾽ οὖν τὸ δοῦναι σοφοῖς ἀφορμὰς
to-contribute but then the to-give to-wise(-men) occasions
κατὰ τὴν παροιμίαν, δυναμένοις ἐξυφαίνειν σοι τὸν
according-to the proverb able to-weave for-you the
κατ᾽ ἀξίαν ὀφειλόμενον ἔπαινον. Ἀλλ᾽ ὦ σεβασμία καὶ
according-to worth owed praise but oh venerable and
τιμία Θεῷ κεφαλὴ καὶ ἀγγέλοις αἰδέσιμος, ὦ τῆς ἀρετῆς
precious to-God head and to-angels revered oh of-the virtue
ἁπάσης καθαρώτατον κειμήλιον καὶ τῶν χαρισμάτων τοῦ
all most-pure treasure and of-the gifts of-the
πνεύματος δοχεῖον μυρίπνοον, ὦ τῶν παραδόξων θαυμάτων
spirit (a)-vessel sweet-scented oh of-the marvelous wonders
καὶ τῶν ἀφθόνων ἰαμάτων πηγὴ καὶ κρήνη θεόβρυτος,
and of-the ungrudging healings spring and fountain God-gushing
μέμνησο τοῦ σοῦ ποιμνίου διὰ παντὸς πρὸς τὸν Κύριον
remember the your flock through all(-time) before the Lord
καὶ οὓς ἔτι σωματικῶς παρὼν νουθετῶν πνευματικῶς
and whom still bodily present admonishing spiritually
ἐπεστήριζες, τούτους δὴ καὶ νῦν μεταστὰς καὶ πρὸς
you-strengthened these indeed also now having-departed and to
Θεὸν μεταχωρήσας μηδαμῶς ἐλλείποις, πανθαύμαστε, σαῖς
God having-gone-over by-no-means may-you-fail all-wonderful(-one) by-your
λιταῖς ἀεὶ συντηρῶν καὶ πάσης ῥυόμενος βλάβης τε καὶ
litanies always preserving(-us) and from-every rescuing harm both and
κακώσεως ψυχῆς ἅμα καὶ σώματος, πάσης ἐπιβουλῆς καὶ
affliction of-soul together and body from-every plot and
ἐπηρείας ἐχθρῶν ἐκλυτρούμενος ὁρωμένων καὶ δυσμενῶν
abuse of-enemies redeeming seen and of-foes
ἀοράτων καὶ πάσης περιστάσεως καὶ συμφορᾶς ἡμᾶς
unseen and from-every circumstance and misfortune us

ἐλευθερῶν, τῆς μελλούσης σωτηρίας καταξίωσον καὶ
freeing of-the coming salvation deem(-us)-worthy and
βασιλείας οὐρανίου ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ
of-(the)-kingdom heavenly in Christ Jesus the lord our to-whom
ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι
(be)-the glory and the might with the father and holy spirit
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.
now and always and to the ages of-the ages amen
